# ΚΥΡΙΛΛΟΣ

Ο

# ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ

ΥΠΟ

ΝΕΟΦΥΤΟΥ ΠΑΓΙΔΑ
ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ.

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.

ΕΝ ΛΕΙΨΙΑ,
[illegible]ΟΙΣ Β. Γ. ΤΕΥΒΝΕΡΟΥ.
1884.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

BK
Π 6

…ΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ.

Αριθ. εισ. 132391

Τῷ φιλτάτῳ μοι Μιχαὴλ Α. Βασιλείῳ

# ΚΥΡΙΛΛΟΣ

Ο

## ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ

ΥΠΟ

ΝΕΟΦΥΤΟΥ ΠΑΓΙΔΑ
ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ.

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ. ..........

ΕΝ ΛΕΙΨΙΑ,
ΤΥΠΟΙΣ Β. Γ. ΤΕΥΒΝΕΡΟΥ.
1884.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΒΙΒΛΙΟΘΗΚΗ
Μητροπολίτη
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΕΤΡΩι Π. ΣΚΑΡΑΜΑΓΚΑι

ΑΝΔΡΙ ΚΑΛΩι ΚΑΓΑΘΩι

ΕΙΣ ΤΙΜΗΣ ΚΑΙ ΕΥΓΝΩΜΟΣΥΝΗΣ ΤΕΚΜΗΡΙΟΝ

ΑΝΕΘΗΚΕΝ

Ο ΣΥΓΓΡΑΨΑΣ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.

Τὸ χρήσιμον καὶ ὠφέλιμον τῆς δι᾽ ἰδίων συγγραφῶν ἀφηγήσεως ἢ ἀναπτύξεως τῶν τε ἄθλων καὶ τῆς διδασκαλίας ἑνὸς ἑκάστου τῶν θεοφόρων τῆς ἁγίας ἡμῶν ἐκκλησίας Πατέρων καὶ Διδασκάλων, καὶ μάλιστα δὴ τῶν ἐπιφανεστάτων αὐτῶν, ἀνομολογοῦσι βεβαίως πάντες οἱ ἐμπείρως τῶν τοιούτων μελετῶν ἔχοντες. Ἐκ τῆς αὐτῆς οὖν γνώμης ὁρμωμένη καὶ ἡ ἡμετέρα ἀσθένεια ἀντελάβετο κατὰ τὸ ἐνὸν τῆς ἀνὰ χεῖρας ἰδίας πραγματείας περὶ ἑνὸς τῶν ἐξοχωτάτων καὶ κρατίστων τῆς ὀρθοδόξου ἡμῶν πίστεως ἀθλητῶν, τὴν χρῆσιν, ἐὰν μή τι ἄλλο, τοῦ παρείκοντος τῶν καιρῶν τρὸς τὰς τοιαύτας μελέτας σύμφορον τὰ μάλιστα κρίνουσα.

*Ἔγραφον ἐν Πετρουπόλει τῇ ιβ΄ Ἀπριλίου ͵αωπβ΄.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.

# ΚΥΡΙΛΛΟΣ

## Ο ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ[1]).

§. 1. *Κύριλλος ὁ Θεσπέσιος, ὁ „τῆς καθολικῆς πίστεως περικλεέστατος πρόμαχος καὶ εὐσταθέστατος κῆρυξ"*[2]), *ὁ „ἀποστολικὸς ἀνήρ"*[3]), *ἡ „σφραγὶς τῶν πατέρων"*[4]), *ἐγεννήθη περὶ τὸ τέλος τοῦ τεττάρτου αἰῶνος ἐν τῇ πολλῶν καὶ ἀξιαγάστων ἀνδρῶν ἐπί τε σοφίᾳ, καὶ λόγοις, καὶ ἀρετῇ, καὶ ὁσιότητι βίου ἀγαθῇ μητρὶ καὶ τιθήνῃ Ἀλεξανδρείᾳ. Κατὰ τὸν ἅγιον Ἰσίδωρον τὸν Πηλουσιώτην*[5]) *καὶ τὸν ἱστορικὸν Σωκράτην*[6]) *ὁ ἱερὸς Κύριλλος ἦν ἀδελφιδοῦς Θεοφίλου τοῦ Ἀλεξανδρείας, καὶ δεόντως ὑπὸ τὴν ἄγρυπνον τούτου ἐκπαιδευθεὶς ἐπιτήρησιν, τὴν μοναδικὴν πολιτείαν καὶ τὸν μονάδα βίον ἐν τῷ περιφήμῳ τῆς Νιτρίας ὄρει ἠσπάσατο, ἔνθα οὐ μόνον τοὺς μοναστικοὺς*

1) *Πρὸς συγγραφὴν τῆς παρούσης πραγματείας εἶχον ὑπ' ὄψει τὰς ἑξῆς πηγάς· α) τὰ συγγράμματα τοῦ ἁγίου Κυρίλλου, καὶ κατ' ἐξοχὴν τὰς ἐπιστολὰς αὐτοῦ· β) τὰ πρακτικὰ τῆς ἐν Ἐφέσῳ ἁγίας Συνόδου* (Mansi T. IV et V). *γ) τοὺς ἐκκλησιαστ. ἱστορ. Σωκράτην, καὶ Νικηφόρον τὸν Κάλλιστον· δ) Λεόντιον τὸν Βυζάντιον (Σχόλια καὶ τῆς κατὰ τὴν Θεότητα τοῦ Κυρίου καὶ ἀνθρωπότητα ἐναντίας δοκήσεως Νεστορίου καὶ Εὐτυχοῦς ἔλεγχος καὶ ἀνατροπή), βοηθήματα δὲ τὰ ἑξῆς: α)* Tillemont T. XIV. S. Cyrille (p. 267—676 *μετὰ τῶν σημειώσεων* p. 747—795). *β)* Ceillier T. XIII c. VIII p. 241—407. *γ)* Dupin T. IV p. 41—52. *δ)* Histoire univers. par Ronbacher. *ε)* Fessler Institut. Patrolog. T. II p. 495—576. *ζ) ἐξαίρετον πραγματείαν περὶ τοῦ ἁγίου Κυρίλλου ῥωσσιστί, ἐκδοθεῖσαν ἐν Μόσχᾳ τῷ 1854 ἐν τῷ περιοδ. συγγράμ. τῆς ἐν τῇ πόλει ταύτῃ πνευματ. Ἀκαδημ. ἐπιγραφομένῳ: συγγράμματα τῶν ἁγίων Πατέρων.*

2) Prosper Aquit. contra Collat. c. 21 n. 2 (ed. Paris. col. 363) et S. Agatho P. epist. I.

3) P. S. Coelestini I. ep. 25 n. 7 (ed. Constant).

4) *Ἀναστ. Σιν. ὁδηγ. κεφ.* 7 (ed. Gretser p. 106).

5) *Βιβλ. Α. ἐπ.* 310.

6) *ἐκκλ. ἱστορ. ζ, 7. πρλ. καὶ Θεοδ. ἐκκλ. ἱστορ. Ε,* 35.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*διήθλει ἀγῶνας, ἀλλὰ καὶ συντόνῳ ἐπιμελείᾳ καὶ ἐνθέῳ ζήλῳ περὶ τὴν ἐκμάθησιν ἠσχολεῖτο τῆς ἁγίας Γραφῆς*[1]) *καὶ περὶ τὴν ἀνάγνωσιν τῶν συγγραμμάτων τῶν περικλεεστάτων τῆς Ἐκκλησίας Πατέρων καὶ Διδασκάλων, οἷον Διονυσίου καὶ Ἀθανασίου ἀρχιεπισκόπων Ἀλεξανδρείας, Βασιλείου τοῦ Μεγάλου*[2]), *Ἀμφιλοχίου τοῦ Ἰκονίου, Ἄμμωνος ἐπισκόπου τῆς ἐν Αἰγύπτῳ Ἀδριανουπόλεως, Ἰωάννου τοῦ Χρυσοστόμου, καὶ ἄλλων.*[3]) *Ἐκεῖθεν ἐπανελθόντα μετὰ πενταετίαν εἰς Ἀλεξάνδρειαν ἔταξεν ὁ Θεόφιλος εἰς τὸν κλῆρον, ἐπειδὴ κατεῖδε τὰς ἐξοχὰς αὐτοῦ ἀρετάς, διάκονον χειροτονήσας αὐτὸν καὶ πρεσβύτερον, καὶ ἀνέθηκεν αὐτῷ τοῦ θείου λόγου τὸ κήρυγμα. Μετ' ἄκρου δὲ ζήλου ἀσκῶν τὸ ἱερὸν τοῦτο λειτούργημα, καὶ παντὶ σθένει ὑπὲρ τοῦ ἀγαθοῦ καθόλου τῶν πιστῶν μεριμνῶν, δικαίως τὴν ἀγάπην ἁπάντων καὶ τὸν σεβασμὸν ἐπεσπάσατο.*[4]) *Τελευτήσαντος δὲ τοῦ Θεοφίλου τῇ ιζ' ὀκτωβρίου τοῦ* 412^ου^ *σωτηρίου ἔτους, οὐδεὶς ἄλλος ἐκρίθη αὐτοῦ ἱκανώτερος οὔτε καταλληλότερος εἰς τὸ ἀναβῆναι ἐπὶ τὸν περίδοξον τῆς Ἀλεξανδρείας ἀρχιερατικὸν θρόνον. Ἐντεῦθεν τῇ γ' ἡμέρᾳ μετὰ τὴν τοῦ Θεοφίλου τελευτὴν προεχειρίσθη ἀρχιεπίσκοπος, εἰς οὐδὲν ἰσχυσάσης τῆς ἀντιπράξεώς τινων, καὶ μάλιστα τῆς τοῦ ἄρχοντος τοῦ στρατιωτικοῦ τάγματος Ἀβουδατίου, ἀξιούντων ἐνθρονίσαι Τιμόθεον τὸν ἀρχιδιάκονον.*[5])

§. 2. *Ἅμ' ἀναβὰς ἐπὶ τὸν ἀρχιερατικὸν θρόνον, ὁ τῷ ἐνθέῳ ὑπὲρ τῆς ὀρθοδοξίας ζήλῳ ἀκράδαντόν τε χαρακτῆρα καὶ νοῦν διαυγῆ καὶ βαθὺν συνενῶν θεῖος Κύριλλος, ἤρξατο πᾶσαν ποιεῖσθαι σπουδὴν περὶ ἐπιστροφῆς εἰς τὴν τῆς ἀληθείας ὁδὸν τῶν αἱρετικῶν, τῶν ἐθνικῶν, καὶ τῶν Ἰουδαίων. Πρῶτοι δὲ οἱ ἐν ταῖς ἰδίαις πλάναις πάνυ ἰσχυρογνώμονες καὶ ἀδεῶς ἀσεβοῦντες εἰς τὴν μέχρις ἐκείνου δειχθεῖσαν αὐτοῖς*

---

1) Historia Patriarcharum Alexandrinorum a Marco usque ad saec. XIII. Renaudot. 1713 p. 106.

2) ibidem.

3) *Τοῦτο καταδεικνύουσιν αἱ ἐκ τῶν συγγραμμάτων τῶν ἁγίων Πατέρων μαρτυρίαι, ἃς παράγει ἐν τῷ αὐτοῦ προσφωνητικῷ ταῖς εὐσεβεστάταις βασιλίσσαις. οἱ δὲ κατὰ Ἰουλιανοῦ τοῦ Παραβάτου λόγοι αὐτοῦ καταδεικνύουσιν ἐπ' ἴσης, ὅτι καὶ τῶν ἐθνικῶν συγγραφέων ἦν τὰ μάλιστα ἔμπειρος.*

4) Renaudot. ibid.

5) *Σωκρ. ἐκκλ. ζ, 7.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μακροθυμίαν τῆς ὀρθοδόξου Ἐκκλησίας Ναυατιανοὶ ἔλαβον πεῖραν τῆς αὐτοῦ αὐστηρότητος. „Εὐθέως οὖν (λέγει ὁ Σωκράτης), Κύριλλος τὰς ἐν Ἀλεξανδρείᾳ Ναυατιανῶν ἐκκλησίας ἀποκλείσας, πάντα μὲν αὐτῶν τὰ ἱερὰ κειμήλια ἔλαβε· τὸν δὲ ἐπίσκοπον αὐτῶν Θεόπεμπτον πάντων ὧν εἶχεν ἀφείλετο.“[1])

§. 3. Βαθυτάτην ᾐσθάνετο λύπην ὁ θεῖος ποιμὴν ἐπὶ τῇ πωρώσει τῶν ἐν Ἀλεξανδρείᾳ ἐθνικῶν. Εἰ καὶ ὁ θεῖος αὐτοῦ Θεόφιλος ἐξηφάνισε (τῷ 391) τοὺς ἐν Ἀλεξανδρείᾳ καὶ ἐν Κανώβῳ καὶ ἐν ἄλλαις πόλεσι τῆς Αἰγύπτου εἰδωλικοὺς ναούς, ὅμως ἐσώζετο ἔτι παρὰ τὸν Κάνωβον ἱερόν, πρὸς ὃ καταφεύγοντες οἱ ἐθνικοὶ ἠρώτων περὶ ἐπιτυχίας τῶν ἐπιχειρήσεων αὐτῶν, καὶ ᾐτοῦντο ἀντίληψιν ἐν ταῖς ἀσθενείαις. „Ἐν τῷ τόπῳ τούτῳ, λέγει ὁ ἅγιος Σωφρόνιος ὁ Ἱεροσολύμων, δαίμων ἀκάθαρτος ἐπεφαίνετο ἐν εἴδει θηλείας ποιῶν φαντασίας πολλάς, καὶ μαντείας δοκῶν λέγειν μηδὲν ἐχούσας ἀληθές, καὶ ἐπιταγάς τινας φαρμάκων τερατευόμενος, μηδὲν παντάπασιν ὠφελῶν, ἀλλὰ τούτους εἰς ἀπώλειαν ἐφελκόμενος . .“[2]) Λυπούμενος καὶ ἀδημονῶν ὁ ἱερὸς Κύριλλος ἐπὶ ταῖς διὰ τῆς ἀπάτης ἀπολλυμέναις ψυχαῖς, ἔγνω ἐπιθεῖναι πέρας τῷ κακῷ.

---

1) Ἐκκλ. ἱστορ. ζ, 7. Ὁ οὐκ ἀλλότριος τῶν πλανῶν τῶν Ναυατιανῶν Σωκράτης ἀδίκως ἐγκαλεῖ τῷ ἁγ. Κυρίλλῳ αὐθαιρεσίας, διότι ὀλίγα τινὰ πρὸ τοῦ συμβεβηκότος τούτου ἔτη αἱ ἐκκλησίαι καὶ τὰ κτήματα τῶν αἱρετικῶν παρεχωροῦντο τῇ ὀρθοδόξῳ ἐκκλησίᾳ, κατὰ νόμον τοῦ Ὀνωρίου, ἀνανεωθέντα τῷ 412. Οἱ σύγχρονοι τῷ ἁγ. Κυρίλλῳ ὀρθόδοξοι ἐπίσκοποι ἐνόμιζον τὴν πίεσιν ταύτην τῶν Ναυατιανῶν οὐκ ἐναντίαν τῇ ἐπισκοπικῇ ἐξουσίᾳ. Ὁ αὐτὸς ἱστορικὸς Σωκράτης λέγει, ὅτι καὶ ὁ „Κελεστῖνος τὰς ἐν Ῥώμῃ Ναυατιανῶν ἐκκλησίας ἀφείλετο, καὶ τὸν ἐπίσκοπον αὐτῶν Ῥουστικόλαν κατ' οἰκίας ἐν παραβύστῳ συνάγειν ἠνάγκασεν“ (ἐκκλ. ἱστορ. ζ, 11). — Οἱ Ναυατιανοί, οἵπερ καὶ καθαροὺς ἑαυτοὺς ἐπωνόμαζον, διετηρήθησαν ἐν μὲν τῇ Ἀνατολῇ μέχρι τοῦ η' αἰῶνος, ἐν δὲ τῇ Δύσει μέχρι τοῦ πάπα Λέοντος τοῦ Μεγάλου. Μετὰ τὴν σύνοδον ὅμως τῆς Νικαίας, ποιησαμένην διατάξεις περὶ τοῦ τύπου τῆς παραδοχῆς αὐτῶν εἰς τὴν Ἐκκλησίαν, διῃρέθησαν ἐν ἑαυτοῖς. Ἅπαντες οἱ ἐκκλησιαστικοὶ ἱστορικοὶ ἐποιήσαντο λόγον περὶ τῆς αἱρέσεως ταύτης. Ὁ ἁγ. Κυπριανός, ὁ ἅγ. Πακιανός, καὶ ὁ ἅγιος Ἀμβρόσιος ἔγραψαν κατ' αὐτῶν. Οἱ Ναυατιανοὶ κατεδικάσθησαν ὑπὸ πολλῶν συνόδων, συστασῶν ἐν Ἰταλίᾳ καὶ Ἀφρικῇ, καὶ τέλος ὑπὸ τῆς ἐν Νικαίᾳ ἁγίας οἰκουμενικῆς Συνόδου. Ἴδ. Εὐσέβ. ἐκκλ. ἱστορ. ζ, 45. ζ, 7. Σωκρ. ἐκκλ. ἱστορ. δ, 13. Ἐπιφ. αἱρ. νθ'. Θεοδωρ. αἱρ. κακομαθ. γ, 5. Κυπρ. Epist. LXXIII ad Jubaianum, Ἀμβρόσ. de Poenit., T. I c. VI. Διον. Ἀλεξανδρ. ἐπ. πρὸς Διον. τὸν Ῥώμης, παρ' Εὐσεβ. ἐκκλ. ἱστορ. ζ, 8. Φωτ. ἀνάγν. 182.

2) Περὶ τῶν ἁγίων Κύρου καὶ Ἰωάννου.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Πρὸς τοῦτο δὲ μετεκόμισεν ἐξ Ἀλεξανδρείας εἰς τὸν ἐν τῇ αὐτῇ πολίχνῃ ὑπὸ τοῦ Θεοφίλου ἀνεγερθέντα ναὸν τῶν „Εὐαγγελιστῶν" τὰ τῶν μαρτύρων Κύρου καὶ Ἰωάννου ἅγια λείψανα, ὧν τοῖς ἐπιτελουμένοις θαύμασι ταχέως ἠμαυρώθη ἡ φήμη τοῦ ἐθνικοῦ ἱεροῦ, καταλειφθέντος καὶ καταχωθέντος ὑπὸ τῆς παρακειμένης ψάμμου. Ὁ ναὸς τῶν ἁγίων Εὐαγγελιστῶν ἐπεσπᾶτο ἐκ τούτου τήν τε τῶν πεπλανημένων προςοχήν, καὶ τὴν τῶν εὐσεβῶν προςκυνητῶν προθυμίαν, τῶν τε ἐγγὺς καὶ τῶν πόρρω κειμένων χωρῶν. Ὁ δὲ ἱερὸς Κύριλλος λίαν ἐπὶ τούτῳ χαίρων καὶ ἀγαλλόμενος, οὐ μόνον συχνῶς ἐτέλει ἐν αὐτῷ τὴν θείαν λειτουργίαν, ἀλλὰ καὶ πολλάκις ἐξεφώνει λόγους πανηγυρικοὺς εἰς τοὺς ἁγίους ὧν ἐκεῖ τὰ ἱερὰ ἐνέκειντο λείψανα.*[1])

§. 4. *Ἐν Ἀλεξανδρείᾳ ὑπῆρχον οὐκ ὀλίγοι ἐθνικοί, οἵτινες, στερηθέντες τῶν ναῶν αὐτῶν καὶ τῶν βωμῶν, μόνην παραμυθίαν εὕρισκον ἐν τῇ σπουδῇ τῆς φιλοσοφίας καὶ τῶν ἐπιστημῶν, τῶν τοσοῦτον ἀκμασασῶν ποτε ἐν τῷ περιφημοτάτῳ τῆς πόλεως ταύτης μουσείῳ. Πλεῖστοι ἐπ' ἴσης Ἰουδαῖοι ᾤκουν ἐνταῦθα, πολλῶν προνομίων καὶ μάλιστα θρησκευτικῆς ἐλευθερίας ἀπολαύοντες. Τὸ διάφορον δὲ τῶν θρησκευτικῶν ὁμολογιῶν ἐγίνετο πολλάκις παραίτιον πολλῶν ταραχῶν καὶ συγκρούσεων παρὰ τῷ ζωηρῷ καὶ πρὸς στάσεις ἐπιρρεπεῖ τῆς πόλεως ταύτης λαῷ.*

§. 5. *Οἱ Ἰουδαῖοι, ὑποστηριζόμενοι ὑπὸ τοῦ πάνυ δυσμενῶς πρὸς τὸν ἅγιον Κύριλλον διακειμένου ἐπάρχου Ὀρέστου, ἐσπούδαζον δεικνύναι κρύφα τε καὶ φανερῶς τὴν πρὸς τοὺς Χριστιανοὺς ἀδιάλλακτον αὐτῶν ἔχθραν. Αἱ ὑπὸ τοῦ θείου ἱεράρχου πολλάκις αὐτοῖς δοθεῖσαι προτροπαὶ καὶ συμβουλαί, ἵνα παύσωνται οὕτω προσφερόμενοι, ἀπέβησαν μάταιαι. Ἡμέραν τινὰ (τῷ τετάρτῳ ἔτει τῆς τοῦ ἁγίου Κυρίλλου ἐπισκοπῆς), εὑρισκόμενοι οἱ Ἰουδαῖοι ἐν τῷ θεάτρῳ, ἔνθα ὁ Ὀρέστης τὰς δημοτικὰς διατυπώσεις ἐποίει, εἶδον πρὸς ἄλλοις τοῦ ἱεράρχου σπουδασταῖς τὸν ἔνθερμον αὐτοῦ φίλον, τὸν γραμματικὸν Ἱέρακα, ὃν ὑπολαβόντες ἀποσταλέντα ὑπ' αὐτοῦ, ἵνα ἐμβάλῃ στάσιν τῷ δήμῳ, ἤρξαντο καταβοᾶν αὐτοῦ. Ὁ δὲ Ὀρέστης, ὃς*

---

1) *Ὁ περικλεὴς Καρδινάλιος Ἄγγελος Μάϊος ἐξέδωκεν* in Spicilegio Romano T. III p. 249. 250 *τεμάχια δύο λόγων ἐκφωνηθέντων ὑπὸ τοῦ ἁγ. Κυρίλλου ἐν τῷ ναῷ τῶν ἁγίων Εὐαγγελιστῶν.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

„καὶ πρότερον, ὡς λέγει ὁ Σωκράτης, ἐμίσει τὴν δυναστείαν τῶν ἐπισκόπων, ὅτι παρῃροῦντο πολὺ τῆς ἐξουσίας τῶν ἐκ τοῦ βασιλέως ἄρχειν τεταγμένων, μάλιστα δὲ ὅτι καὶ ἐποπτεύειν αὐτοῦ τὰς διατυπώσεις Κύριλλος ἐβούλετο“[1]), προσέταξε συλλαβεῖν τὸν Ἱέρακα καὶ μαστιγῶσαι ἐν αὐτῷ τῷ θεάτρῳ. Μαθὼν τοῦτο ὁ θεῖος ποιμήν, μετεπέμψατο τοὺς ἐπισημοτάτους τῶν Ἰουδαίων, οἷς ἠπείλησε δεινὰς κολάσεις, μὴ πανσομένοις τοῦ στάσεις κατὰ τῶν Χριστιανῶν διεγείρειν. Ἀλλ' ἀντὶ τοῦ ὑπακοῦσαι ταῖς συμβουλαῖς αὐτοῦ, ἐγένοντο πολλῷ θρασύτεροι, καὶ στυγερὸν διαπράξασθαι κακούργημα διενοήθησαν. Ὑπῆρχεν ἐν Ἀλεξανδρείᾳ ἐκκλησία ἁπασῶν τῶν λοιπῶν κατά τε τὴν μεγαλοπρέπειαν καὶ τὴν καλλονήν ὑπερέχουσα, ἐκκλησία τοῦ ἁγίου Ἀλεξάνδρου καλουμένη. Ἐν μιᾷ τῶν νυκτῶν, διέδοσαν οἱ Ἰουδαῖοι ἀνὰ πᾶσαν τὴν πόλιν τὴν φήμην, ὅτι ἡ ἐκκλησία ἐκείνη ἐκαίετο. Ἀκούσαντες τοῦτο οἱ Χριστιανοὶ ἔδραμον πανταχόθεν πρὸς διάσωσιν αὐτῆς ἀπὸ τοῦ πυρός· ἀλλ' οἱ Ἰουδαῖοι, ἐπωφεληθέντες τὸ εὔπιστον καὶ ἄοπλον αὐτῶν, ἐπετέθησαν αὐτοῖς μανιωδῶς καὶ ἐφόνευσαν χιλιάδας τινάς. Γενομένης δὲ ἡμέρας, ὁ ἅγιος Κύριλλος, παρακολουθούμενος ὑπὸ τοῦ ὀρθοδόξου λαοῦ, παρεγένετο ἐπὶ τὰς τῶν δολοφόνων συναγωγὰς καὶ ἀφείλετο αὐτάς· αὐτοὺς δὲ ἐξήλασε τῆς πόλεως, καὶ τὰς οὐσίας αὐτῶν ἐπέταξε κατασχεῖν τοὺς Χριστιανούς, πιθανῶς ἐκείνους, ὧν οἱ συγγενεῖς οὕτω δολίως καὶ ὠμῶς ἐφονεύθησαν ὑπὸ τῶν ἐκ τῆς θρησκοληψίας ἐκμανέντων Ἰουδαίων.[2]) Κατασχεθεὶς ὑπ' ἄκρας λύπης ἐπὶ τοῖς γενομένοις ὁ Ὀρέστης, ἀνήνεγκεν αὐτὰ τῷ αὐτοκράτορι. Καὶ ὁ ἅγιος δὲ Κύριλλος ἐμήνυσεν αὐτῷ τό τε κακούργημα τῶν Ἰουδαίων καὶ τὰ κατ' αὐτῶν ἀντεπιταχθέντα. Ἐν ταὐτῷ δ' ἐπρεσβεύετο περὶ φιλίας πρὸς Ὀρέστην. Ἐπειδὴ δ' οὗτος πάνυ ψυχρῶς τοὺς ὑπὸ τοῦ

---

1) ἐκκλ. ἱστορ. ζ, 13.

2) Ἀναμφίβολον ὅτι ὁ ἅγιος Κύριλλος προέβη εἰς τὸ μέτρον τοῦτο, ἑπόμενος τοῖς ὑπὸ τῶν αὐτοκρατόρων δοθεῖσι τοῖς ἐπισκόποις τῆς Ἀλεξανδρείας δικαιώμασιν. Εἰ ἡ ἐξέλασις ἦν ἔργον αὐθαιρεσίας καὶ παρανόμου ἐπεμβάσεως εἰς ἀλλότρια καθήκοντα, ταχέως ἐπανῆλθον ἂν οἱ Ἰουδαῖοι εἰς Ἀλεξάνδρειαν, συνεργοῦντος αὐτοῖς μάλιστα καὶ τοῦ Ὀρέστου. Κατὰ τὸν αὐτὸν χρόνον οἱ ἐν Ἰνμεστάρ, τόπῳ κειμένῳ μεταξὺ Χαλκίδος καὶ Ἀντιοχείας τῆς ἐν Συρίᾳ, οἰκοῦντες Ἰουδαῖοι, συλλαβόμενοι παιδίον χριστιανόν, ἐσταύρωσαν αὐτό. Ἐπὶ τῇ ἀνοσίῳ δὲ ταύτῃ πράξει ἐκολάσθησαν αὐστηρότατα οἱ ἐκεῖ Ἰουδαῖοι. Σωκρ. ἐκκλ. ἱστορ. ζ, 16.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*ἱεράρχου πεμφθέντας πρέσβεις ἐδέξατο, καὶ ἐδήλωσεν αὐτοῖς ὑφ' ἡλίκης δυσφορίας κατείχετο, ἔγνω αὐτὸς ἐλθεῖν πρὸς αὐτὸν καὶ προσωπικῶς συνδιαλεχθῆναι· Ἐν χερσὶ δ' ἔχων τὸ ἱερὸν Εὐαγγέλιον, τῆς ἔχθρας αὐτὸν παύσασθαι προὔτρεπεν, ἀλλ' ὁ ἀγέρωχος ἐκεῖνος ἀνὴρ οὐδαμῶς ἐκάμφθη. Ἡ διαίρεσις αὕτη ἐγένετο ἀτυχῶς πολλῶν λυπηρῶν συμβεβηκότων παραίτιος, ἅπερ, κατὰ τὸν Σωκράτην, οὐ σμικρὸν μῶμον Κυρίλλῳ τε καὶ τῇ Ἀλεξανδρέων ἐκκλησίᾳ εἰργάσαντο.*[1])

§. 6. *Ὁ ἄλογος ζῆλος τῶν ἐν τοῖς ὄρεσι τῆς Νιτρίας μοναχῶν ἐπηύξησε πολλῷ μᾶλλον τὸ πρὸς τὸν ἅγιον Κύριλλον μῖσος τοῦ Ὀρέστου. Μαθόντες οὗτοι τὰ ἐν Ἀλεξανδρείᾳ γενόμενα, καὶ βουλόμενοι ὑπερασπίσαι τὸν ἑαυτῶν ποιμένα, κατ'-έλαβον πεντακόσιοι περίπου, τὴν Ἀλεξάνδρειαν, ἔνθα, προσ-ελθόντες τῷ Ὀρέστῃ, ἀπεκάλουν αὐτὸν θύτην καὶ ἕλληνα, καὶ ἄλλας πολλὰς καὶ βαρείας αὐτοῦ ὕβρεις κατέχεον. „Ὁ δὲ ὑποτοπήσας, λέγει ὁ Σωκράτης, σκευωρίαν αὐτῷ παρὰ Κυρίλλου γίνεσθαι, ἐβόα χριστιανός τε εἶναι, καὶ ὑπὸ Ἀττικοῦ ἐπισκόπου ἐν τῇ Κωνσταντίνου πόλει βεβαπτίσθαι. Ὡς δὲ οὐ προσεῖχον τοῖς λεγομένοις οἱ μοναχοί, εἷς τις ἐξ αὐτῶν Ἀμμώνιος ὄνομα, λίθῳ βάλλει τὸν Ὀρέστην κατὰ τῆς κεφαλῆς· καὶ πληροῦται μὲν αἵματος ὅλος ἐκ τοῦ τραύματος· ὑποχωροῦσι δὲ οἱ ταξεῶται πλὴν ὀλίγων, ἄλλος ἀλλαχοῦ ἐν τῷ πλήθει διαδύσαντες, τὸν ἐκ τῆς βολῆς τῶν λίθων θάνατον φυλαττόμενοι. Ἐν τοσούτῳ δὲ συνέρρεον οἱ τῶν Ἀλεξανδρέων δῆμοι, ἀμύνασθαι τοὺς μοναχοὺς ὑπὲρ τοῦ ἐπάρχου προθυμούμενοι. Καὶ τοὺς μὲν ἄλλους πάντας εἰς φυγὴν ἔτρεψαν, τὸν Ἀμμώνιον δὲ συλλαβόντες, παρὰ τὸν ἔπαρχον ἄγουσιν, ὅς, δημοσίᾳ κατὰ τοὺς νόμους ἐξετάσει αὐτὸν ὑπολαβών, ἐπὶ τοσοῦτον ἐβασάνισεν, ὡς ἀποκτεῖναι . . . Τοῦ δὲ Ἀμμωνίου τὸ σῶμα ἀναλαβὼν (ὁ Κύριλλος), καὶ ἐν μιᾷ τῶν ἐκκλησιῶν ἀποθέμενος, ὄνομα ἕτερον αὐτῷ ἐπιθείς, Θαυμάσιον ἀπεκάλεσε, καὶ μάρτυρα χρηματίζειν ἐκέλευσεν, ἐγκωμιάζων αὐτοῦ ἐπ' ἐκκλησίας τὸ φρόνημα . . . .“*[2]) *Τὰ γενόμενα, ὡς προείρηται, κατέστησε γνώριμα τῷ αὐτοκράτορι οὐ μόνον ὁ Ὀρέστης, ἀλλὰ καὶ ὁ ἱερὸς Κύριλλος, οὗ τοῖς γραφομένοις ὁ αὐτοκράτωρ μᾶλλον ἐπίστευεν,*

---

1) **ἐκκλ. ἱστορ. ζ, 15.**
2) **ἐκκλ. ἱστορ. ζ, 14.**

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὡς δύναταί τις τεκμήρασθαι ἐκ τοῦ ὅτι καὶ μετὰ ταῦτα ἐπ᾽-έστελλεν αὐτῷ ὁ θεῖος ποιμὴν μετὰ παρρησίας καὶ θάρρους. Ἀλλ᾽ οὐδὲν ἴσχυσεν ὅπως καμφθῇ ὁ ἀλαζὼν ἔπαρχος.

§. 7. Ἡ διαίρεσις αὕτη ἐγένετο, ὡς μὴ ὤφελε, παραίτιος ἀτυχήματος πολλῷ σπουδαιοτέρου καὶ λυπηροτέρου τῶν προλαβόντων, συμβάντος τῷ 415 κατὰ μῆνα Μάρτιον, νηστειῶν οὐσῶν. Ὑπῆρχεν ἐν Ἀλεξανδρείᾳ γυνή, Ὑπατία τὸ ὄνομα, θυγάτηρ Θέωνος τοῦ φιλοσόφου. Η φύσις ἐπροίκισεν αὐτὴν ἐξόχως ἠθικοῖς καὶ πνευματικοῖς πλεονεκτήμασιν, ἐφ᾽ οἷς δικαίως τὸν θαυμασμὸν καὶ τὸ σέβας ἁπάντων τῶν συγχρόνων αὐτῇ σπουδαίων ἀνδρῶν ἐπεσπάσατο. Διδαχθεῖσα τὰ μαθηματικὰ ὑπὸ τοῦ πατρὸς αὐτῆς ἐν Ἀλεξανδρείᾳ, μετέβη εἶτα εἰς Ἀθήνας πρὸς τελειοτέραν τῆς φιλοσοφίας καὶ ἄλλων ἐπιστημῶν σπουδήν. Ἐπανελθοῦσα δὲ εἰς Ἀλεξάνδρειαν, προέστη τῶν ἐκεῖ δημοσίων σχολῶν, ἐν αἷς ἐδίδασκε τὰ μαθηματικὰ τοῦ Ἀπολλωνίου καὶ Διοφάντου, καὶ τὴν φιλοσοφίην τοῦ Ἀμμωνίου καὶ Πλωτίνου. „Οὕτω δ᾽ ἔχουσαν τὴν Ὑπατίαν, λέγει ὁ Σουΐδας[1]), ἔν τε τοῖς λόγοις ἐντρεχῆ οὖσαν καὶ διαλεκτικήν, ἔν τε τοῖς ἔργοις ἔμφρονά τε καὶ πολιτικήν, ἥ τε ἄλλη πόλις εἰκότως ἠσπάζετό τε καὶ προςεκύνει διαφερόντως, οἵ τε ἄρχοντες ἀεὶ προχειριζόμενοι τῆς πόλεως ἐφοίτων. πρῶτοι πρὸς αὐτήν, ὡς καὶ Ἀθήνησι διετέλει γινόμενον. Εἰ γὰρ καὶ τὸ πρᾶγμα ἀπόλωλεν, ἀλλὰ τό γε ὄνομα τῆς φιλοσοφίας ἔτι μεγαλοπρεπές τε καὶ ἀξιάγαστον εἶναι ἐδόκει τοῖς μεταχειριζομένοις τὰ πρῶτα τῆς πολιτείας.“ Συνέσιος δὲ ὁ Πτολεμαΐδος σοφώτατος ἐπίσκοπος ἔγραψεν αὐτῇ ἐπιστολάς, ἐν αἷς δείκνυται ὅσον διὰ τιμῆς ἦγε καὶ ἐσέβετο αὐτήν. Οὐδενὸς δ᾽ ἧττον ἐτίμα αὐτὴν ὁ ἔπαρχος Ὀρέστης, ᾧ καὶ συχνότερον αὕτη συνετύγχανεν. Ἀτυχῶς δὲ ἡ πρὸς τὸν Ὀρέστην φιλία ἐγένετο παραίτιος τοῦ ἀπανθρώπου αὐτῆς θανάτου. Οἱ σπουδασταὶ τοῦ ἁγίου Κυρίλλου, ὑπολαμβάνοντες ὅτι αὕτη κωλύει τὸν ἔπαρχον τοῦ διαλλαγῆναι πρὸς τὸν ἱεράρχην, λίαν ὠργίζοντο κατ᾽ αὐτῆς. „Καὶ δή, λέγει ὁ Σωκράτης, συμφωνήσαντες ἄνδρες τὸ φρόνημα ἔνθερμοι, ὧν ἡγεῖτο Πέτρος τις ἀναγνώστης, ἐπιτηροῦσι τὴν ἄνθρωπον ἐπανιοῦσαν ἐπὶ οἰκίαν ποθέν· καὶ ἐκ τοῦ δίφρου ἐκβαλόντες, ἐπὶ τὴν ἐκκλησίαν, ᾗ ἐπώνυμον Καισάριον, συνέλκουσιν· ἀποδύσαντές τε

---

1) ἐν λ. Ὑπατία.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*τὴν ἐσθῆτα, ὀστράκοις ἀνεῖλον. Καὶ μεληδὸν διασπάσαντες, ἐπὶ τὸν καλούμενον Κιναρῶνα τὰ μέλη συνάραντες, πυρὶ κατηνάλωσαν."*[1]) *Ἡ ἐκδήλωσις αὕτη τοῦ σεβασμοῦ τοῦ ἄφρονος ὄχλου πρὸς τὸν ποιμένα αὐτοῦ βαθυτάτην, ὡς εἰκός, προὐξένησεν αὐτῷ λύπην.*[2])

§. 8. *Τῷ* 416 *Ἀττικὸς ὁ Πατριάρχης Κωνσταντινουπόλεως, ἐνδοὺς ταῖς παρακλήσεσι τοῦ ὀρθοδόξου λαοῦ τῆς μεγαλοπόλεως ταύτης καὶ αὐτῆς ἔτι τῆς αὐλῆς, ἐνέγραψε τοῖς ἱεροῖς διπτύχοις το ὄνομα τοῦ θείου Χρυσοστόμου*[3]), *σύναμα δὲ ἐπέστειλε τῷ Κυρίλλῳ, προτρέπων αὐτὸν κελεῦσαι „ἐγγραφῆναι τὴν προσηγορίαν τοῦ ἀπεληλυθότος ταῖς κατ' Αἴγυπτον ἐκκλησίαις, τῆς οἰκουμενικῆς χάριν εἰρήνης." Ἀλλ' οὗτος κομισάμενος τὴν ἐπιστολὴν τοῦ Ἀττικοῦ ἐγένετο περιοργής, ἔψεξεν αὐτόν, καί, ὡς μὴ ὤφελεν, ἀπεφήνατο οὐχὶ προσηκόντως περὶ τοῦ τρισμακαρίου Ἰωάννου*[4]). *Εὐτυχῶς μετὰ ταῦτα μετέβαλε γνώμην, οὐκ ὀλίγον πρὸς τοῦτο συνεργήσαντος τοῦ ἀληθοῦς μαθητοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ Ἰσιδώρου τοῦ*

---

1) *ἐκκλ. ἱστορ. ζ,* 15.

2) *Πολλοὶ σοφοὶ ἄνδρες κατεστηλίτευσαν τὴν κατα τοῦ θείου Κυρίλλου συκοφαντίαν, ὅτι δῆθεν τῇ προτροπῇ καὶ συναινέσει αὐτοῦ ἐφονεύθη ἡ περικλεὴς αὕτη φιλόσοφος. Τὴν συκοφαντίαν ταύτην ἐξυλάκτισε πρῶτος ὁ νεοπλατωνικὸς καὶ μισόχριστος Δαμάσκιος. Ἴδε τοῦ σοφοῦ Κωνσταντίνου τοῦ ἐξ Οἰκονόμων „περὶ τῶν ό. ἑρμ. τῆς Π. Θ. Γ." τόμ. Δ. σελ.* 644.

3) *Κατὰ τὸν Θεοδώρητον (ἐκκλ. ἱστορ. ε',* 35) *πρῶτος Ἀλέξανδρος ὁ Ἀντιοχείας ἐνέταξε τοῖς ἐκκλησιαστικοῖς διπτύχοις τὴν προσηγορίαν Ἰωάννου τοῦ πάνυ. Κατὰ τὸν αὐτὸν Θεοδώρητον, „τελευτήσαντος τοῦ μεγάλου διδασκάλου τῆς οἰκουμένης, οὗ πρότερον οἱ τῆς ἑσπερίας ἐπίσκοποι τῶν ἐν Αἰγύπτῳ καὶ τῇ ἑῴᾳ καὶ τῶν ἐν τῷ Βοσπόρῳ καὶ τῇ Θρᾴκῃ τὴν κοινωνίαν ἠσπάσαντο, ἕως ἐκείνου τοῦ θεσπεσίου ἀνδρὸς τοὔνομα τοῖς τεθνεῶσιν ἐπισκόποις συνέταξαν" (αὐτόθι* 34). *Ἴδε καὶ Παλλάδ. κεφ.* 20 (*σελ.* 214—215), S. Prosper Aquit. Chronic. sub Vincentio et Fravito Coss. an. 401 (opp. ed. Paris. col. 738), *Νικηφ. ἐκκλ. ἱστορ. ιδ,* 25 *καὶ* 26. *Πρβλ.* Pagi Erit. ad a. 404 n. 20—21, ad a. 412 n. 24, ad a. 427 n. 6, ad a. 438 n. 2. Tillemont Art. CXXXIII—V (p. 348—356).

4) *Ἡ περὶ τῆς ὑποθέσεως ταύτης ἐπιστολὴ τοῦ Ἀττικοῦ, ὡς καὶ ἡ εἰς αὐτὴν ἀπόκρισις τοῦ ἁγ. Κυρίλλου, εὕρηνται ἐν τῷ δεκάτῳ τόμῳ τῶν Ἁπάντων τοῦ ἁγ. Κυρίλλου, τῶν ἐκδοθ. ὑπὸ Μιγνίου, σελ.* 348—360. *Λυπηρόν, ὅτι ὁ θεῖος οὗτος πατήρ, ἀπατηθείς, ὡς φαίνεται, ὑπὸ τοῦ θείου αὐτοῦ Θεοφίλου, οὐκ ὀρθὰ περὶ τοῦ Χρυσοστόμου ἐφρόνει. Ἐν τῷ μιαρῷ συνεδρίῳ τῆς Δρυός, ἔνθα παρανομώτατα κατεδικάσθη ὁ θεῖος Διδάσκαλος, παρεγένετο καὶ ὁ Κύριλλος μετὰ τοῦ Θεοφίλου.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Πηλουσιώτου, ὃν ὁ ἱερὸς Κύριλλος εἶχεν ἐν πολλῇ τιμῇ καὶ μεγάλως ἐσέβετο.*[1])

§. 9. *Καίπερ ὑπὸ τοσούτων καὶ τηλικούτων μεριμνῶν περισπώμενος καὶ ταρασσόμενος ὁ ἱερὸς Κύριλλος, ὅμως οὐκ ἐπαύετο ἀσχολούμενος περὶ τὴν ἐξήγησιν τῆς ἁγίας Γραφῆς, περὶ τὸ κήρυγμα τοῦ θείου λόγου, περὶ τὴν ἑρμηνείαν τῶν δογμάτων τῆς πίστεως, καὶ περὶ τὸν ἔλεγχον τῶν πεπλανημένων. Κατὰ τὰ πρῶτα δέκα καὶ ἑπτὰ τῆς ἑαυτοῦ ἐπισκοπῆς ἔτη ἔγραψε: α΄) περὶ τῆς ἐν πνεύματι καὶ ἀληθείᾳ προσκυνήσεως καὶ λατρείας λόγους* 17. *β΄) Γλαφυρά ἢ ὑπομνήματα (ἀλληγορικὰ κατὰ μέγα μέρος καὶ ἀναγωγικά) εἰς ἐκλεκτὰ χωρία τῆς Πεντατεύχου. γ΄) ἐξήγησιν ὑπομνηματικὴν εἰς τὸν προφήτην Ἠσαΐαν καὶ εἰς τοὺς δώδεκα ἐλάσσονας προφήτας· δ΄) ἐξήγησιν ὑπομνηματικὴν εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον· ε΄) τὴν τῶν Θησαυρῶν περὶ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος βίβλον· ζ΄) ἑπτὰ διαλόγους περὶ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος· καὶ ζ΄) τὴν βίβλον περὶ τῆς ἁγίας καὶ ζωοποιοῦ Τριάδος.*[2])

§. 10. *Ὁ ἔνθεος ζῆλος τοῦ θεσπεσίου Κυρίλλου ὑπὲρ τῶν ὀρθῶν τῆς πίστεως δογμάτων, ἡ πρὸς ὑπεράσπισιν αὐτῶν ἀκράδαντος αὐτοῦ σταθερότης, ἡ εὐρυτάτη αὐτοῦ παιδεία, ἡ*

---

1) *Πρβ. ἐπ. Ἰσιδώρ. βιβλ. Α. ἐπ.* 370. *Νικηφόρος ὁ Κάλλιστος λέγει, ὅτι ὁ ἅγιος Κύριλλος μετέβαλε γνώμην οὐ μόνον ταῖς προτροπαῖς πολλῶν, καὶ μάλιστα τοῦ ἁγίου Ἰσιδώρου, ἀλλὰ καὶ θείᾳ τινὶ καὶ μυστικωτέρᾳ ἀποκαλύψει. „Ἐδόκει γάρ, λέγει, ὁρᾷν ἑαυτὸν μὲν τῶν ἱερῶν ἐξωθούμενον ὑπὸ Ἰωάννου, παρρησίας μεγίστης ἠξιωμένου τῇ περὶ αὐτὸν πομπῇ καὶ θείᾳ δορυφορίᾳ, τὴν δὲ τοῦ Κυρίου Μητέρα ὑπὲρ αὐτοῦ τὸν Ἰωάννην ἀντιβολοῦσαν, καὶ ἀξιοῦσαν τοῖς ἱεροῖς ἀνακτόροις παραδεχθῆναι αὐτόν, πολλὰ μὲν καὶ ἄλλα προβαλλομένην, πρὸς δὲ καὶ ὡς πλεῖστα ὑπὲρ τῆς αὐτῆς δόξης ἀγωνισάμενον, ὡς λελέξεται. Ὧν ἐν μεθέξει γενόμενος ὁ θεσπέσιος Κύριλλος, καὶ ἀναπολήσας ταῦτα τοῖς λογισμοῖς, κατέγνω μὲν ἑαυτοῦ τῆς ἐπὶ τῷ ἁγίῳ καταδρομῆς· καὶ τοῦ λοιποῦ συνεὶς καὶ αὐτός, τῇ κατὰ τὸν Χρυσόστομον ἐκκλησίᾳ προσέκειτο, καὶ διὰ θαύματος ἐποιεῖτο τὸν ἄνδρα, πολλῷ χρώμενος μεταμέλῳ, οἷς κατ' ἐκείνου τὸ παράπαν ἠρέθιστο ἀγνοῶν . . . .“ (Ἐκκλ. ἱστορ. δ΄, 28). πρβλ.* Tillemont Art. V—VI. (p. 279—282).

2) *Ὁ ἅγιος Κύριλλος λέγει ἐν τῇ β΄ πρὸς Νεστόριον ἐπιστολῇ, ὅτι ἡ περὶ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος βίβλος ἐγράφη ὑπ' αὐτοῦ, „περιϊόντος ἔτι τοῦ τῆς μακαρίας μνήμης Ἀττικοῦ.“ Ὅτι δὲ καὶ τὰ μνημονευθέντα συγγράμματα ἐγράφησαν ὑπ' αὐτοῦ πρὸ τῆς αἱρέσεως τοῦ Νεστορίου, δυνάμεθα κρῖναι ἐκ τοῦ ὅτι οὐδεμία ἐν αὐτοῖς γίνεται μνεία περὶ τῆς αἱρέσεως ταύτης.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀκριβεστάτη αὐτοῦ ὡς πρός τε τὴν ἁγίαν Γραφὴν καὶ τὰ συγγράμματα τῶν ἁγίαν Πατέρων ἐπιστήμη, καὶ ὁ ἔξοχος αὐτοῦ νοῦς, κατεδείχθησαν πρὸ πάντων καὶ κατ' ἐξοχὴν ἐν τῇ πρὸς τὸν Νεστόριον καὶ τοὺς ὀπαδοὺς αὐτοῦ δεινῇ μὲν, ἀλλ' ἐνδόξῳ πάλῃ, ἐν ᾗ τὰ λαμπρότατα τῶν ἐτῶν τοῦ ἐνδόξου αὐτοῦ βίου διήνυσεν.

§. 11. Σισινίου[1]), τοῦ διαδόχου τοῦ Ἀττικοῦ, τῇ ιδ' Σεπτεμβρίου τοῦ 427 τελευτήσαντος, πολλοὶ μὲν ἐπόθουν ὅπως καταλάβῃ τὴν θέσιν αὐτοῦ ὁ ἱερὸς Πρόκλος, πολλοὶ δέ ὅπως Φίλιππος ὁ ἀπὸ Σίδης· ἀλλ' οἱ κρατοῦντες ἔγνωσαν, πρὸς ἀποφυγὴν σκανδάλων, μηδένα ἐκλεχθῆναι τῶν ἐκ τοῦ κλήρου τῆς Κωνσταντινουπόλεως. Ἐντεῦθεν μετεπέμψαντο ἐξ Ἀντιοχείας τὸν Νεστόριον, τὸ γένος Γερμανικόν, μεγάλης ἀπολαύοντα ὑπολήψεως ἐπί τε τῷ αὐστηρῷ καὶ σώφρονι αὐτοῦ βίῳ, καὶ ἐπί τῇ δυνάμει τῆς φυσικῆς αὐτοῦ εὐγλωττίας, καὶ τῇ φαινομένῃ αὐτοῦ εὐσεβείᾳ[2]). Ἡ χειροτονία αὐτοῦ ὡς ἀρχιεπισκόπου τῆς βασιλευούσης πόλεως ἐγένετο τῇ δεκάτῃ Ἀπριλίου τοῦ 428, ἐν ὑπατείᾳ Φίληκος καὶ Ταύρου, ἁπάντων τῶν ὀρθοδόξων κατοίκων εὐφημούντων τε καὶ χρηστὰς ἐλπίδας ἐχόντων, ὅτι οὗτος ἔμελλε δειχθῆναι τῆς ἐκλογῆς αὐτοῦ καὶ κλήσεως ἄξιος.

---

1) Ὁ Σισίνιος ἦν, κατὰ Νικηφόρον τὸν Κάλλιστον, „ὀρθότητι βίου σώφρονος καὶ φιλοπτωχίᾳ περιώνυμος· τὸ δὲ ἦθος εὐπρόσιτος καὶ ἁπλοῦς, καὶ ἀπραγμοσύνῃ συζῶν· ὅθεν καὶ τοῖς φιλοπράγμοσι λυπηρὸς ἦν, διὸ καὶ παρ' αὐτοῖς δόξαν εἶχεν οὐκ εὐπρεπῆ" (ἐκκλ. ἱστορ. ιδ, 30.)

2) Περὶ αὐτοῦ λέγει ὁ μακάριος Θεοδώρητος τάδε: „Οὗτος ἐκτῆς Γερμανικέων πολίχνης ὁρμώμενος, οὐκ οἶδα ποταποῖς τὸ ἐξ ἀρχῆς ἐν τεθραμμένος ἐπιτηδεύμασιν, ἄλλην ἐξ ἄλλης ἀμείβων χώραν, καθάπερ αἰγυπτιακή τις μάστιξ, τῇ μεγάλῃ τῶν Ἀντιοχέων ἐνέσκηψε πόλει. Ἐν ταύτῃ λόγων ἐλευθερίων μετρίως μετεσχηκὼς, φωνήν τε ὅτι καλλίστην καὶ μεγίστην ἀσκήσας, τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ προϊὼν εἰσεφθάρη, καὶ τῷ καταλόγῳ τῶν πρεσβυτέρων ἐναρίθμιος γεγονὼς, τόν τε τοῦ Θεοῦ λαὸν διδάσκειν πεπιστευμένος, ἔδειξεν εὐθύς ἐν προοιμίοις, οἷος παρὰ πάντα τὸν βίον γενήσεται. οὐ γὰρ τὸν εὐγενῆ καὶ γόνιμον, καὶ γεωργῆσαι ψυχὰς ἀνθρώπων δυνάμενον ἐζήλωσε χαρακτῆρα τῶν λόγων· ἀλλὰ πρὸς τὸ δημοτερπὲς ἀποκλίνας, καὶ τῶν εἰς ἀέρα λυομένων κρότων θηρευτὴς, εἰ καὶ τις ἄλλος γενόμενος, τὸ συρφετῶδες καὶ ἀστάθμητον πλῆθος πρὸς τὸν οἰκεῖον ἐξεκαλέσατο πόθον, φαιὸν περιβεβλημένος ἱμάτιον, ἐστυγνακὼς βαδίζων, τοὺς ἀγοραίους ἐκκλίνων θορύβους, ὠχρότητι σώματος δοκεῖν ἐγκρατὴς εἶναι θηρώμενος, οἴκοι τὰ πολλὰ βιβλίοις προσανέχων, καὶ καθ' ἡσυχίαν ἑαυτῷ συγγιγνόμενος. Τοιούτοις σχήμασί τε καὶ πλάσμασι τοὺς πολλοὺς δελεάζων, μέχρι πόρρω προῆλθε τῆς ἡλικίας*), τὸ δοκεῖν Χριστια-

---

*) Ἀντὶ ἡλικίας γραπτέον καθ' ἡμᾶς ἐκκλησίας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οἱ ἐν τῇ χειροτονίᾳ αὐτοῦ παραγενόμενοι ἐπίσκοποι ἐμήνυσαν ταύτην τῷ Πάπᾳ Κελεστίνῳ, τῷ ἁγίῳ Κυρίλλῳ, καὶ ἅπασι, κατὰ τὸ εἰκός, τοῖς λοιποῖς τῶν μεγάλων θρόνων ἐπισκόποις. Οὐδενὸς δ' ἧττον ἐχάρη ἐπὶ τούτῳ ὁ ἅγιος Κύριλλος, ὃς καὶ ἐπέστειλε συγχαίρων αὐτῷ ἐκ καρδίας, καὶ δηλῶν ὑφ' ἡλίκης κατελήφθη χαρᾶς[1]). Κατ' ἀρχὰς τῆς ἐπισκοπῆς αὐτοῦ ἔδειξε μέγαν ζῆλον ὁ Νεστόριος, διδάσκων τὸν λαὸν καὶ καταπολεμῶν τοὺς ἐχθροὺς τῆς ὀρθοδόξου πίστεως· ἀλλ' οὐδαμῶς ἤρεσκε τοῖς συνετωτέροις ὁ ὑπερβάλλων ζῆλος καὶ τὸ βίαιον αὐτοῦ. Ἐν τῷ πρώτῳ αὐτοῦ λόγῳ κατέδειξε τὸ κοῦφον τῆς ἑαυτοῦ διανοίας καὶ τὸ θυμικὸν ἅμα καὶ τὸ κενόδοξον, διότι πρὸς τὸν αὐτοκράτορα ἀποβλέπων εἶπεν ἐνώπιον παντὸς τοῦ λαοῦ: „Δός μοι, ὦ βασιλεῦ, καθαρὰν τὴν γῆν τῶν αἱρετικῶν, κἀγώ σοι τὸν οὐρανὸν ἀντιδώσω. Συγκάθελέ μοι τοὺς αἱρετικούς, κἀγὼ συγκαθελῶ σοι τοὺς Πέρσας"[2]). Τῇ πέμπτῃ μετὰ τὴν χειροτονίαν αὐτοῦ ἡμέρᾳ, βουλόμενος καθελεῖν τὸν ναὸν τῶν Ἀρειανῶν, ἤλασεν αὐτοὺς εἰς ἀπόνοιαν, ὡς λέγει ὁ Σωκράτης[3]), διότι οὗτοι ὁρῶντες τὸν ναὸν καθαιρούμενον, πῦρ ἐμβαλόντες, οὐ μόνον αὐτὸν τὸν ναόν, ἀλλὰ καὶ τὰς παρακειμένας οἰκίας κατέκαυσαν. Οὐκ ὀλίγον δ' ἐτάραξε τοὺς Ναυατιανούς, καὶ ἀπηνῶς κατεδίωξε τοὺς περὶ Ἀσίαν καὶ Λυδίαν καὶ Καρίαν Τεσσαρεσκαιδεκατίτας, δηλ. τοὺς ἑορτάζοντας τὴν ἑορτὴν τοῦ πάσχα ἐν ὁποίᾳ ἂν ἡμέρᾳ ἠδύνατο συμπίπτειν ἡ τῆς σελήνης τεσσαρεσκαιδεκάτη, ἤτοι ἐν Σαββάτῳ ἢ ἐν Κυριακῇ[4]). Πολλὰ δὲ πεπόνθασι καὶ οἱ Μακεδονιανοὶ ὑπ' αὐτοῦ[5]).

---

νὸς εἶναι πρὸ τοῦ εἶναι διώκων, καὶ τῆς τοῦ Χριστοῦ δόξης τὴν ἑαυτοῦ προτιμῶν"" (Αἱρετ. κακομυθ. βιβλ. δ, 12).

1) S. Cyril. Alex. op. ed. Auberti 1638. T. VI, p. 247. Καὶ ὁ ἅγιος Κελεστῖνος ἐν τῇ πρὸς αὐτὸν ἐπιστολῇ λέγει: „ἐχαροποίησεν ἡμῶν τὴν ψυχὴν διήγησις τῶν ἐρχομένων ἀγγέλων, ἣν εὐθέως ἐβεβαίωσεν ἡ τῶν ἡμετέρων κοινωνῶν ἀναφορά, τῶν παραγενομένων τῇ σῇ χειροτονίᾳ, οἵτινες τοσοῦτόν σοι ἐμαρτύρησαν, ὅσον ἐχρῆν τῷ ἀλλαχόθεν ἐπιλεχθέντι. Μετὰ τοσαύτης γὰρ καὶ πρότερον ὑπολήψεως ἔζησας, ὥστε καὶ ἐφθόνησε τοῖς σοῖς ἀλλοτρία πόλις."

2) Σωκρ. ζ, 29. Νικηφ. ιδ, 31.

3) Αὐτόθ.

4) Δαμασκ. περὶ αἱρ. ν'.

5) Σωκρ. αὐτ. 2, 31. Ἐκ τῶν αἱρετικῶν ἐποιεῖτο περὶ πολλοῦ μόνον τοὺς Πελαγιανούς, ὧν, ὡς λέγεται, ἠκολούθει τῇ διδασκαλίᾳ, τοὐλάχιστον ὅσον ἀφορᾷ εἰς τὰς δυνάμεις τοῦ αὐτεξουσίου (Φωτ. ἀνάγν. νδ, σελ. 44.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

§ 12. *Ἡ χαρά, ἣν ᾔσθοντο οἵ τε ὀρθόδοξοι ποιμένες καὶ ὁ εὐσεβὴς λαὸς ἐπὶ τῇ τοῦ Νεστορίου ἀναβάσει ἐπὶ τὸν θρόνον τῆς βασιλευούσης πόλεως, οὐκ ἐπὶ μακρὸν χρόνον διήρκεσεν, ταχέως ἀποκαλυφθείσης τῆς δυσσεβείας αὐτοῦ. Μετὰ τὸν πρεσβύτερον Ἀναστάσιον, ὃν παρέλαβε μεθ' ἑαυτοῦ ἐξ Ἀντιοχείας, καὶ ὃν διὰ πολλῆς εἶχε τιμῆς, συμβούλῳ ἐν τοῖς πράγμασι χρώμενος, τολμήσαντά ποτε ἐπ' ἐκκλησίας εἰπεῖν: „Θεοτόκον τὴν Μαρίαν καλείτω μηδείς. Μαρία γὰρ ἄνθρωπος ἦν· ὑπὸ ἀνθρώπου δὲ θεὸν τεχθῆναι ἀδύνατον"[1]), ἤρξατο καὶ αὐτὸς διαδιδόναι ἐν ταῖς ὁμιλίαις αὐτοῦ τὴν ἰδίαν ἀσέβειαν, λέγων, ὅτι κλητέον τὴν Παναγίαν Παρθένον οὐ Θεοτόκον, ἀλλὰ Χριστοτόκον. Πρόδηλον δ' ἐκ τῶν ἐξηγήσεων, αἷς ἐσπούδαζεν ὑποστηρίζειν τὴν πλάνην αὐτοῦ, ὅτι οὐκ εἶχεν ὀρθὴν περὶ τοῦ προσώπου τοῦ Ἰησοῦ Χριστοῦ ἰδέαν. Ἐδόξαζεν, ὅτι ὁ Θεὸς Λόγος, ὁ ὁμοούσιος τῷ Πατρί, κατῆλθε διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων οὐρανόθεν ἐπὶ τὸν ἄνθρωπον, ὃν ἐμόρφωσεν ἐν τῇ γαστρὶ τῆς Παρθένου τὸ Ἅγιον Πνεῦμα, καὶ ὅτι ἐν τῷ ἀνθρώπῳ τούτῳ κατῴκησεν, ὡς θεὸς ἐν ναῷ, καὶ ὅτι αὐτῷ καθάπερ ὀργάνῳ ἐχρήσατο. Ἐντεῦθεν καὶ ἐκάλει τὸν Χριστὸν ἄνθρωπον θεοφόρον[2]), ὅς, κατ' αὐτόν, ἔπαθεν, ἐσταυρώθη καὶ ἐγεύσατο θανάτου, προσενεγκὼν ἑαυτὸν εἰς θυσίαν οὐ μόνον ὑπὲρ ἡμῶν, ἀλλὰ καὶ ὑπὲρ ἑαυτοῦ[3]). Ἠρνεῖτο τοίνυν τὴν ἕνωσιν τῶν φύσεων εἶναι· ὑποστατικήν, καθ' ἣν τὰ φυσικὰ τοῦ ἀνθρώπου ἰδιώματα ἀποδίδονται τῷ Θεῷ, καὶ τὰ θεῖα τῷ ἀνθρώπῳ· παρεδέχετο δὲ μόνον συνάφειαν σχετικήν, οἵα ὑπάρχει ἐν δυσὶ προσώποις παντελῶς*

---

45) *Πβλ.* Ceillier Hist. Générale des Aut. sacrés et ecclés. T. VIII. nouvelle édit. p. 368, *καὶ* Tillemont Mémoires T. XIV. p. 301—307.

1) *Σωκρ. αὐτ. λβ. „Τοῦτο ἀκουσθέν, λέγει ὁ Σωκράτης, πολλοὺς κληρικούς τε καὶ λαϊκοὺς ἐν ταὐτῷ πάντας ἐτάραξεν. Ἦσαν γὰρ πάλαι διδαχθέντες θεολογεῖν τὸν Χριστόν, καὶ μηδαμῶς αὐτὸν τῆς οἰκονομίας, ὡς ἄνθρωπον, χωρίζειν ἐκ τῆς θεότητος." αὐτόθ.*

2) *Ἴδε Κυρίλ. ἐπ. β' πρὸς Νεστόρ., Νεστορ. λόγ.* I. 7. 8, II. (ed. Garn. P. 11 p. 11) 111 (ibid. p. 11—12). XIII 7—9 (ed. Garn. p. 94. edit. Baluz. Serm. V. p. 89—90). *Λεόντ. Βυζ. κατὰ Νεστορ. καὶ Εὐτυχ. βιβλ. γ'.* (Gallemd. T. XII p. 691—93 et p. 695. *Ἐντεῦθεν τὴν Ἐνσάρκωσιν τοῦ Κυρίου ἐκάλει ἐνανθρώπησιν, συνάφειαν, ἐνοίκησιν, ἔνδυσιν, ἀνάληψιν, ἐνέργειαν. (Πρακτ. τῆς ἐν Ἐφ. Συν. Πρ.* I. Mansi T. IV. col. 1200—1201), *καὶ Νεστορ. Λόγ.* I. 11 (ed. Garn. P. 11. p. 6. ed. Baluz. p. 56).

3) *Κυρίλ. ἐπ. β'. πρὸς Νεστόρ. κατὰ Νεστορ. λόγ. γ, σελ.* 89.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*κεχωρισμένοις κατά τε τὴν ἠθικὴν ἀξίαν, καὶ τὴν ἰσοτιμίαν, ἢ κατὰ τὴν δύναμιν καὶ τὴν ἐξουσίαν*[1]).

§. 13. *Οἱ ὑπὸ τοῦ ἀσεβοῦς πρεσβυτέρου Ἀναστασίου ῥηθέντες βλάσφημοι λόγοι, ὡς καὶ αἱ κακόδοξοι τοῦ Νεστορίου διδασκαλίαι, κατετάραξαν τοὺς ἀσθενεῖς τὸν νοῦν καὶ ἐνέβαλον αὐτοῖς ἀμφιβολίαν περὶ τοῦ σπουδαιοτάτου τῶν δογμάτων τῆς ἁγίας ἡμῶν πίστεως, περὶ τῆς θεότητος δηλ. τοῦ Ἰησοῦ Χριστοῦ*[2])· *ἀλλ' ὁ Κύριος ἔσωσε τὴν Ἐκκλησίαν αὐτοῦ, ἐκλεξάμενος ἐν τῷ ἁγίῳ Κυρίλλῳ κρατερώτατον τῆς ὀρθοδόξου πίστεως πρόμαχον, μέλλοντα κατανικῆσαι ἐνδόξως τοὺς ἀσεβεῖς αὐτῆς ἐχθρούς*[3]).

---

1) Nest. Serm. II ed. Garn. II p. 9—11. *Περὶ Νεστορίου καὶ τῶν πλανῶν αὐτοῦ ἴδ. Σωκρ. ἐκκλ. ἱστορ. ζ*, 29. 31. 32. *Εὐαγρ. ἐκκλ. ἱστορ. α*, 2. Gennad. lib. de script. eccles. c. 53. *πρβλ.* Garn. in Opp. Marii Mercat. P. 11. Dissert. I. Tillemont T. XIV. S. Cyrille d' Alex. Art. XVII—XIX (p. 307—312) et Art. CXXXV (p. 612—13), Baronii Annal. ad ann. 428, n. 30. 36. Cave Hist. lit. Vol. I p. 412—14. *Οἱ λόγοι τοῦ ἀσεβοῦς Νεστορίου εὑρίσκονται ἐν* Opp. Marii Mercat. (ed. Garn. P. II p. 1—94, ed. Baluz. p. 52—90). *Περὶ τῆς αἱρέσεως τοῦ δυσωνύμου τούτου αἱρετικοῦ εὕρηται μακρὰ καὶ ἀκριβεστάτη πραγματεία ἐν τῷ τοῦ σοφωτάτου Διονυσίου τοῦ Πεταυΐου συγγράμματι*, Op. de theologicis Dogmatibus T. V p. 329—337 ed. Parisiens. 1868. *Ἴδε καὶ Φεσλέρου* Instit. Patrologiae T. II. Pars alt. p. 485—494.

2) Tillemont T. XIV p. 328.

3) *Ἐκ τῶν ἐν Κωνσταντινουπόλει ὀρθοδόξων πρῶτος ἀντεῖπε τῷ Νεστορίῳ, ἐπὶ μέσης ἐκκλησίας βεβήλοις χρωμένῳ κακοφωνίαις, „ἀνήρ τις, (ὡς λέγει ὁ ἅγ. Κύριλλος) τῶν ἄγαν ἐπιεικῶν, καὶ τελῶν μὲν ἐν λαϊκοῖς ἔτι, πλὴν οὐκ ἀθαύμαστον συναγηγερκὼς ἐν ἑαυτῷ τὴν παίδευσιν, θερμῷ τε καὶ φιλοθέῳ κεκινημένος ζήλῳ, ὅς τορόν τι κεκραγώς, αὐτὸν ἔφη τὸν προαιώνιον Λόγον καὶ δευτέραν ὑπομεῖναι γέννησιν, δῆλον δὲ, ὅτι τὴν κατὰ σάρκα καὶ ἐκ γυναικός“ (Κατὰ Νεστορ. Τόμ. Α κεφ. ς). ὁ γενναῖος οὗτος τῆς ἀληθείας πρόμαχος ἦν, κατὰ τὸν Γαρνιῆρον, ὁ μετὰ ταῦτα περικλεὴς ἐπίσκοπος Δορυλαίου Εὐσέβιος, ἐνθέῳ ζήλῳ ἀγωνισάμενος κατὰ τῶν τοῦ Νεστορίου καὶ τοῦ Εὐτυχοῦς αἱρέσεων καὶ ἀξιωθεὶς τῆς προσηγορίας τοῦ Ὁμολογητοῦ ἕνεκα τῶν παθημάτων, ἅτινα ὑπέστη ἐν τῷ πρὸς τὸν Εὐτυχῆ ἀγῶνι* (Tillemont T. XIV, p. 318). *Ἄριστα ἠγωνίσατο κατὰ τῆς κακοδοξίας τοῦ Νεστορίου ὁ ἱερώτατος Πρόκλος, ὅς, εἰ καὶ προυτάθη ὑπὸ Σισινίου εἰς τὴν τῆς Κυζίκου ἐπισκοπήν, ὅμως, ἐκλεξαμένων τῶν Κυζικηνῶν τὸν Δαλμάτιον, ἔμενεν ἐν Κωνσταντινουπόλει, διδάσκων τὸν ὀρθόδοξον λαόν. Προτραπεὶς ὑπὸ τοῦ Νεστορίου ἐκφωνῆσαι λόγον ἐν ἑορτῇ τινι τῆς ὑπεραγίας Θεοτόκου ἐν τῷ ναῷ τῆς ἁγίας Σοφίας, ἀνέπτυξε τὴν περὶ ἐνανθρωπήσεως ὀρθόδοξον διδασκαλίαν, παρόντος καὶ αὐτοῦ τοῦ Νεστορίου. Ἐν τῷ προοιμίῳ τοῦ λόγου αὐτοῦ ἔδωκε τῇ Παναγίᾳ Παρθένῳ τὴν προσηγορίαν Θεοτόκου· ἔπειτα κατέδειξεν, ὅτι ἐστὶν ἀξία τῆς προσηγορίας ταύτης, καὶ ὅτι ὁ Υἱὸς αὐτῆς ἐστιν ἀληθῶς θεὸς καὶ ἄνθρωπος ἄνευ τινὸς συγχύσεως τῶν δύο φύσεων. „Διὰ τοῦ Ἀδάμ, λέγει,*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

§. 14. Ὁ ὑπὸ τῆς κακοδοξίας τοῦ Νεστορίου ἐν Κωνσταντινουπόλει ἐγερθεὶς σάλος μετεδόθη καὶ ἀνὰ τὰς ἐπαρχίας τῆς αὐτοκρατορίας. Κατά τινας, αὐτὸς ὁ Νεστόριος ἀπέστελλεν ἁπανταχόσε ὀπαδοὺς αὐτοῦ πρὸς διάδοσιν τῆς ἰδίας πλάνης. Ἅπασαι αἱ ἐκκλησίαι διετέλουν οὖσαι ἐν διαιρέσει. Αἱ ὁμιλίαι τοῦ δυςσεβοῦς τούτου διεδόθησαν καὶ ἀνὰ τὴν Αἴγυπτον, καταθορυβοῦσαι τὰ πνεύματα καὶ τῶν ἐνταῦθα πιστῶν, καὶ ἐμβάλλουσαι πολλοῖς ἀμφιβολίας περὶ τοῦ μυστηρίου τῆς Θείας Ἐνανθρωπήσεως. Τὸ κακὸν εἰσέδυ μέχρι καὶ αὐτῶν τῶν ἱερῶν μονῶν. Μαθὼν δὲ τοῦτο ὁ ἅγιος Κύριλλος παρά τινων μοναχῶν, ἀφικομένων κατὰ τὸ εἰωθός εἰς Ἀλεξάνδρειαν ἵνα συνεορτάσωσι τῷ Ἀρχιεπισκόπῳ τὴν τοῦ Πάσχα ἑορτήν, τὰ μάλιστα ἐδυσφόρησεν. Οὐδενὸς ἧττον ἐφίλει, ὡς προείρηται, τὸν Νεστόριον[1]), ἀλλὰ παράβασιν τοῦ ἰδίου καθήκοντος τὴν πρὸς τοιοῦτον συνεπίσκοπον ἀγάπην ἡγούμενος, ἔγνω λαβεῖν τὰ δέοντα μέτρα πρὸς κατάπαυσιν τοῦ σκανδάλου. Καὶ τὸ μὲν πρῶτον ἐν τῇ ἐγκυκλίῳ ἐπιστολῇ, ἣν, κατ' ἀπόφασιν τῆς ἐν Νικαίᾳ συνόδου, ἀπέστελλον κατ' ἔτος οἱ τῆς Ἀλεξανδρείας ἐπίσκοποι πρὸς τὰς λοιπὰς ἐκκλησίας, εἰς δήλωσιν τῆς ἡμέρας τῆς τοῦ Πάσχα ἑορτῆς, ἀνέπτυξε τὴν περὶ τῆς ἑνώσεως τῆς θεότητος τῇ ἀνθρωπότητι ἐν τῷ Ἰησοῦ Χριστοῦ διδασκαλίαν, κατέδειξε τὸ ὀρθὸν τοῦ καλεῖν Θεοτόκον τὴν παναγίαν Παρθένον, καὶ ἀνεσκεύασε τὰς τρεῖς πρώτας τοῦ Νεστορίου ὁμιλίας, οὐδεμίαν ποιησάμενος μνείαν τοῦ ὀνόματος αὐτοῦ[2]), ἔπειτα δὲ, ὀλίγον χρόνον μετὰ τὸ πάσχα (ὅπερ τῷ 429 συνέπεσε τῇ ζ'. Ἀπριλίου) ἔγραψεν ἐπιστολὴν πρὸς τοὺς μοναχοὺς τῆς Αἰγύπτου, ἐν ᾗ διὰ δύο μὲν μαρτυριῶν τοῦ μεγάλου Ἀθανασίου, ἐκ τοῦ τρίτου λόγου τοῦ περὶ

πάντες τῇ ἁμαρτίᾳ ἐχειρογραφήσαμεν· δούλους ἡμᾶς κατεῖχεν ὁ διάβολος· τὰς ὠνὰς ἡμῶν περιέφερε, χάρτῃ κεχρημένος τῷ πολυπαθεῖ ἡμῶν σώματι· εἱστήκει ὁ κακὸς τῶν παθῶν πλαστογράφος, ἐπισείων ἡμῶν τὸ χρέος, καὶ ἀπαιτῶν ἡμᾶς τὴν δίκην. Ἔδει τοίνυν δυοῖν θάτερον, ἢ πᾶσιν ἐπαχθῆναι τὸν ἐκ τῆς καταδίκης θάνατον, ἐπειδὴ καὶ πάντες ἥμαρτον, ἢ τοιοῦτον δοθῆναι πρὸς ἀντίδοσιν τίμημα, ὃ πᾶν τῷ χρέει ὑπῆρχε δικαίωμα πρὸς παραίτησιν. Ἄνθρωπος μὲν οὖν σῶσαι οὐκ ἠδύνατο, ὑπέκειτο γὰρ χρέει τῆς ἁμαρτίας, ἄγγελος δὲ ἐξαγοράσασθαι τὴν ἀνθρωπότητα οὐκ ἴσχυεν· ἠπόρει γὰρ τοῦ τοιούτου λύτρου· λοιπὸν οὖν ὁ ἀναμάρτητος Θεὸς ὑπὲρ τῶν ἡμαρτηκότων ἀποθανεῖν ὤφειλεν. Αὕτη γὰρ ἐλείπετο τοῦ κακοῦ λύσις". Ὁ λόγος οὗτος τοῦ ἁγίου Πρόκλου κατεχωρίσθη ἐν τοῖς πρακτικοῖς τῆς ἐν Ἐφέσῳ συνόδου.

1) Ἐπιστ. ζ, σελ. 31.

2) Ὁμιλ. ἑορτ. ιζ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος βιβλίου, ὑπερασπίζει τὴν ὀρθόδοξον διδασκαλίαν ὅτι δεῖ καλεῖν Θεοτόκον τὴν Παναγίαν Παρθένον, διὰ δὲ τοῦ συμβόλου τῆς ἐν Νικαίᾳ συνόδου καὶ χωρίων τινῶν τῆς ἁγίας Γραφῆς ἀποδείκνυσιν, ὅτι ἐνηνθρώπησεν αὐτὸς ὁ Λόγος, ὅτι ἐν τῇ ἐνανθρωπήσει καὶ μετ' αὐτὴν διαμένει Θεός, ὅτι εἰ κατῴκησεν ἐν τῷ ἀνθρώπῳ Ἰησοῦ ὡς ἐν ναῷ ἄνευ τῆς ὑποστατικῆς τῶν φύσεων ἑνώσεως, οἱ λόγοι τοῦ Ἀποστόλου Παύλου: ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν (Φιλιπ. β, 6—8), οὐκ ἂν ἀληθῆ ἀλλὰ φανταστὴν ἐδήλουν ταπείνωσιν. Ὁμολογεῖ δ' ὡσαύτως, ὅτι τὸ ἅγιον Πνεῦμά ἐστιν ἐν μιᾷ καὶ τῇ αὐτῇ φύσει, ἐν ᾗ ὁ Πατὴρ καὶ ὁ Υἱός.

§. 15. Ἡ ἐπιστολὴ αὕτη οὐ μόνον τοὺς τῆς Αἰγύπτου μοναχοὺς ἐξήγαγε τῶν πλανῶν τῆς ἀσεβοῦς τοῦ Νεστορίου διδασκαλίας, ἀλλὰ καὶ ἐν Κωνσταντινουπόλει, γνωστὴ γενομένη, τοῖς μὲν ἐμμένουσι πιστοῖς τῇ ὀρθοδόξῳ διδασκαλίᾳ οὐ σμικρᾶς χαρᾶς ἐγένετο πρόξενος, τῶν δὲ πλανηθέντων πλείστους εἰς τὴν ἀλήθειαν ἐπανήγαγεν. Ἐντεῦθεν τῶν αὐλικῶν τινες ἐπέστειλαν τῷ ἁγίῳ Κυρίλλῳ εὐχαριστοῦντες ἐπὶ τῇ δοθείσῃ αὐτοῖς ὀρθῇ διδασκαλίᾳ[1]). Μόνος δὲ ὁ Νεστόριος ἐγένετο περιοργής, σφόδρα λυπηθεὶς ἐπὶ τῷ ἀρίστῳ τῆς ἐπιστολῆς ταύτης ἀποτελέσματι, τετρωμένον δὲ ἑαυτὸν ὑπ' αὐτῆς νομίζων, ἐγένετο ἐχθρὸς τοῦ θείου Πατρὸς ἀδιάλλακτος· τῇ ἐπιμόνῳ δὲ αὐτοῦ προτροπῇ ἔγραψεν ἀνασκευὴν ταύτης πρεσβύτερός τις, καλούμενος Φώτιος, λίαν αὐτῷ εὐνοϊκῶς διακείμενος, καὶ τὴν πλάνην αὐτοῦ ὑπερασπίζων. Μαθὼν δὲ ὁ τῆς ἀληθείας διάπυρος πρόμαχος παρά τε τοῦ Πάπα Ῥώμης Κελεστίνου καὶ ἄλλων τῆς Δύσεως ἐπισκόπων ἡλίκον καὶ ἐν τῇ Δύσει αἱ ὁμιλίαι τοῦ Νεστορίου ἐπέφερον σκάνδαλον, ἔγραψεν ἐπιστολὴν πρὸς αὐτὸν τὸν τοῦ σκανδάλου ὑπαίτιον, βουλόμενος ἐξαγαγεῖν αὐτὸν τοῦ εἰς ὃ κατέπεσε βαραθρον· παρέστησεν οὖν αὐτῷ διὰ λαμπρῶν χρωμάτων καὶ ἐν ἀδελφικῷ πνεύματι τὰ σκάνδαλα καὶ τὰ δεινά, ἅπερ ἁπανταχοῦ αἱ ὁμιλίαι αὐτοῦ συνεπήνεγκαν· παρεκάλεσε θερμῶς, εἰ παρερρύη τι ἐν τῇ τοῦ λόγου ὁρμῇ, ἐπανορθώσασθαι, καὶ μὴ διστάσαι Θεοτόκον ὀνομάσαι τὴν Παναγίαν Παρθένον, συνῳδὰ τῇ διδασκαλίᾳ τῆς

1) Ἐπ. ια' καὶ β'.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*ἐκκλησίας, ἧς τὴν εἰρήνην οὕτως ἀσεβῶς κατετάραξε. Τὰς προτροπὰς τοῦ συνετοῦ καὶ πολυπείρου Λάμπωνος, δι' οὗ ἔπεμψεν αὐτῷ τὴν ἐπιστολὴν ταύτην ὁ ἅγιος Κύριλλος κατὰ τὸν Ἰούνιον τοῦ 429, βραχυτάτης μόνον ἠξίωσεν ἀποκρίσεως ὁ Νεστόριος.*

§. 16. *Εἰ καὶ ἐν τῇ πρὸς τὸν ἅγιον Κύριλλον ἐπιστολῇ αὐτοῦ διεβεβαίου ὁ Νεστόριος τὸν ἱερὸν ἄνδρα περὶ τῆς πρὸς αὐτὸν ἰδίας ἀγάπης, ὅμως ταχέως κατέδειξεν ὑφ' ἡλίκου κατὰ τοῦ θείου πατρός πάθους κατείχετο. Τῇ προτροπῇ καὶ ὑφηγήσει αὐτοῦ τοῦ Νεστορίου, Ἀλεξανδρεῖς τινες, τὰς διατριβὰς ἐν Κωνσταντινουπόλει ποιούμενοι, ἔνθα, καταδικασθέντες καὶ ἐξορισθέντες ὑπὸ τοῦ ἁγ. Κυρίλλου, ἢ ὑπὸ τῶν πολιτικῶν ἀρχῶν, ἕνεκα ἀνοσίων ἔργων ἢ ἀδικιῶν ἄλλων, κατέφυγον, ἤρξαντο διαδιδόναι, ὅτι ὁ ἱερὸς ποιμὴν κακῶς τὰ τῆς ἧς προΐστατο ἐκκλησίας διῴκει, ὅτι ἐβούλετο γενέσθαι πάντη πάσης ἀρχῆς ἀνεξάρτητος, ὅτι διήγειρε ταραχὰς κατὰ τῶν ἐν ταῖς πολιτικαῖς ἀρχαῖς ὑπὸ τοῦ αὐτοκράτορος τεταγμένων ἀνδρῶν, καὶ ὅτι ἐφρόνει τὰ τῶν Μανιχαίων. Αἳ συκοφαντίαι αὗται ἐπιστεύθησαν ὑπὸ τοῦ αὐτοκράτορος, ἀρξαμένου ἐντεῦθεν δυσμενῶς διακεῖσθαι πρὸς τὸν θεῖον ἱεράρχην.*[1] *Μαθὼν ὁ ἱερὸς Κύριλλος παρὰ τῶν ἐν Κωνσταντινουπόλει οἰκείων κληρικῶν τὰ ὑπὸ τοῦ Νεστορίου αὐτόθι τεκταινόμενα, ἀποστειλάντων αὐτῷ τῶν κληρικῶν τούτων καὶ τὴν τοῦ πρεσβυτέρου Φωτίου ἀνασκευὴν τῆς πρὸς τοὺς μοναχοὺς τῆς Αἰγύπτου ἐπιστολῆς, πρὸς δὲ τούτοις καὶ ὁμιλίας τινὰς τοῦ Νεστορίου, καὶ σχέδιον ἀναφορᾶς, μελλούσης δοθῆναι τῷ αὐτοκράτορι κατὰ τοῦ Νεστορίου, καὶ γνοὺς παρὰ τῶν αὐτῶν κληρικῶν, ὅτι τινὲς τῶν ὀπαδῶν τοῦ αἱρετικοῦ τούτου ἐποιήσαντο αὐτοῖς προτάσεις περὶ εἰρήνης, ἔγραψε κατὰ τὸν Φεβρουάριον τοῦ 430 δύο ἐπιστολάς, τὴν μὲν πρὸς αὐτούς, τὴν δὲ ἑτέραν πρὸς τὸν Νεστόριον. Ἐν τῇ πρὸς τοὺς κληρικοὺς αὐτοῦ ἐπιστολῇ γράφει, ὅτι οὗτοι δύνανται δέξασθαι τὴν περὶ εἰρήνης Ἀναστασίου καὶ τῶν λοιπῶν τοῦ Νεστορίου ὀπαδῶν πρότασιν, „ἐὰν ὁμολογηθῇ ἡ πίστις ὀρθή, καὶ παύσωνται τοῦ λέγειν τοιαῦτα, ἅπερ ξενοεποῦντες, ἐπικαλοῦνται θάνατον. Τοσαύτην γὰρ διαστροφὴν ἔχει τὸ ἀποσταλὲν τετράδιον τῶν αὐτοῦ δυσ-*

---

1) *Λόγ. ἀπολογητ: πρὸς τὸν εὐσεβέστατον βασιλέα Θεοδόσιον.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*φημιῶν, ὡς μολύνεσθαι καὶ τὸν ἀναγινώσκοντα.“ Ἔπειτα ἀνασκευάζων τὴν δοξασίαν τῶν λεγόντων ὅτι ἀπορριπτέα ἡ λέξις Θεοτόκος, ὡς μὴ ἀπαντῶσα ἔν τε τῇ ἁγίᾳ Γραφῇ καὶ τῇ συνόδῳ τῆς Νικαίας, λέγει: „ἐρωτάσθωσαν αὐτοί, ποῦ Χριστοτόκον ἢ Θεοδόχον εὗρον γεγραμμένον; Πρὸς τούτῳ κἀκεῖνο ἐνέθηκεν αὐταῖς λέξεσιν οὕτω· τὴν Θεοδόχον τῷ Θεῷ, μὴ συνθεολογῶμεν Παρθένον, οὐκ εἰδὼς ὅ λέγει. Εἰ γὰρ μὴ τέτοκε Θεόν, μηδὲ ἔσχεν ἐν τῇ κοιλίᾳ Θεὸν ὄντα Χριστόν, πῶς ἔτι Θεοδόχος ἐστί; Καὶ αὐτὸν δὲ τὸν Πατέρα εἶπε Θεοτόκον. Ποῦ τοίνυν ἀνέγνω τὰς λέξεις ταύτας, ἀγνοῶ.“ Περὶ δὲ τῆς ἀναφορᾶς, ἣν ἔμελλον δοῦναι τῷ Αὐτοκράτορι κατὰ τοῦ Νεστορίου, λέγει: „ἐπειδὴ δὲ πολλὴν εἶχε καταδρομήν, κατὰ τοῦ ἐκεῖσε ἢ ἀδελφοῦ, ἢ πῶς ἂν εἴποιμι, τέως ἐπέσχον, ἵνα μὴ ἐπέρχοιτο ἡμῖν, λέγων, κατηγορήσατέ μου ἐπὶ τοῦ βασιλέως ὡς αἱρετικοῦ. Ὑπηγορεύσαμεν δ᾽ ἑτέρως, μετὰ τοῦ καὶ παραιτεῖσθαι τὴν αὐτοῦ κρίσιν εἰπόντες καὶ τῆς ἔχθρας τὸν τρόπον καὶ τὴν δίκην μετασπάσαι, εἰ ἐνίστανται ὅλως ἐκεῖνοι, εἰς ἑτέρους ἄρχοντας.“ Ἐντελλόμενος δὲ τοῖς ἐν Κωνσταντινουπόλει οἰκείοις κληρικοῖς γράψαι αὐτῷ εἰ ὁ Νεστόριος ἐμμένει ἐπιβουλεύων καὶ ἀληθῶς πάντα κινῶν, ὑπισχνεῖται πέμψειν εἰς Κωνσταντινούπολιν ἄνδρας εὐλαβεῖς καὶ φρονίμους, ἐπισκόπους τε καὶ μονάζοντας, καὶ „μηδένα τοῖς ὀφθαλμοῖς αὐτοῦ δώσειν ὕπνον μηδὲ τοῖς βλεφάροις νυσταγμὸν μηδὲ τοῖς κροτάφοις ἀνάπαυσιν ἕως ἂν ἀγωνίσηται τὸν ὑπὲρ τῆς ἁπάντων σωτηρίας ἀγῶνα“.*[1])

§. 17. *Ἐν τῇ πρὸς τὸν Νεστόριον ἐπιστολῇ λέγει ἐν πρώτοις, ὅτι ἔμαθεν ὅσα καταφλυαροῦσι τῆς ὑπολήψεως αὐτοῦ, καὶ τίνες εἰσὶν οἱ καταφλυαροῦντες, καὶ τίνα τὰ κινοῦντα αὐτοὺς ἐλατήρια. Ἔπειτα προτρέπει αὐτὸν ὡς ἀδελφὸν ἐν Κυρίῳ ἐπανορθώσασθαι τὴν ἰδίαν διδασκαλίαν, μετὰ πάσης ἀσφαλείας ποιεῖσθαι ταύτην πρὸς τὸν λαόν, καὶ καταπαῦσαι τὸ σκάνδαλον, προσαρτώμενον τῇ διδασκαλίᾳ τῶν ἁγίων Πατέρων, καὶ κατ᾽ ἐξοχὴν τοῖς δεσπισθεῖσιν ἐν τῇ συνόδῳ τῆς Νικαίας· ποιεῖται δὲ αὐτῷ λόγον καὶ περὶ τῆς φύσεως τοῦ Λόγου καὶ περὶ τοῦ τῆς ἐνανθρωπήσεως μυστηρίου, ὅπερ ἀναπτύσσων ἀποδείκνυσιν ὀρθόν· ἔπειτα περὶ τοῦ ὅτι παραδεκτέον ἐν αὐτῷ*

1) *Ἐπιστ. η.*



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῷ Ἰησοῦ Χριστῷ τὰς δύο γεννήσεις, τήν τε προαιώνιον ἐκ τοῦ Πατρός καὶ τὴν ἐν χρόνῳ, καθ' ἣν ἐγεννήθη ἐκ τῆς Μητρὸς Αὐτοῦ, λεγων οὐχ ὅτι ἡ Θεία Αὐτοῦ φύσις, συναΐδιος οὖσα τῷ Πατρί, ἔλαβε τὴν ἀρχὴν τῆς ὑπάρξεως παρὰ τῆς Παναγίας Παρθένου, ἀλλ' ὅτι διὰ τὴν ἡμετέραν σωτηρίαν προῆλθεν ἐκ γυναικός, ἑνώσας Ἑαυτῷ καθ' ὑπόστασιν τὸ ἀνθρώπινον. Ἐπιπροστίθησι δὲ ὅτι, λέγοντες παθεῖν καὶ ἀναστῆναι, οὐκ ἐννοοῦμεν ὅτι ἔπαθεν εἰς τὴν ἰδίαν φύσιν ἢ πληγὰς ἢ διατρήσεις ἥλων, ἀπαθὲς γὰρ τὸ θεῖον, ἀλλ' ἐπειδὴ τὸ γεγονὸς Αὐτοῦ ἴδιον σῶμα ἔπαθε ταῦτα, λέγεται πάλιν ὅτι ἔπαθεν ὑπὲρ ἡμῶν. Κατὰ τὸν αὐτὸν τρόπον καὶ περὶ τοῦ θανάτου Αὐτοῦ νοοῦμεν. „Ἀθάνατος γάρ, λέγει ὁ θεῖος Διδάσκαλος, κατὰ φύσιν καὶ ἄφθαρτος, καὶ ζωὴ καὶ ζωοποιός ἐστιν ὁ τοῦ Θεοῦ Λόγος. Ἐπειδὴ δὲ πάλιν τὸ ἴδιον αὐτοῦ σῶμα χάριτι Θεοῦ, καθά φησιν ὁ Παῦλος, ὑπὲρ παντὸς ἐγεύσατο θανάτου, λέγεται παθεῖν αὐτὸς τὸν ὑπὲρ ἡμῶν θάνατον· οὐχ ὡς εἰς πεῖραν ἐλθὼν τοῦ θανάτου, τό γε ἧκον εἰς τὴν αὐτοῦ φύσιν (ἀποπληξία γὰρ τοῦτο λέγειν ἢ φρονεῖν), ἀλλ' ὅτι, καθάπερ ἔφην ἀρτίως, ἡ σὰρξ αὐτοῦ ἐγεύσατο θανάτου. Οὕτω καὶ ἐγηγερμένης αὐτοῦ τῆς σαρκός, πάλιν ἡ ἀνάστασις αὐτοῦ λέγεται· οὐχ ὡς πεσόντος εἰς φθοράν, μὴ γένοιτο, ἀλλ' ὅτι τὸ αὐτοῦ πάλιν ἐγήγερται σῶμα. Οὕτω Χριστὸν ἕνα καὶ Κύριον ὁμολογήσομεν· οὐχ ὡς ἄνθρωπον συμπροσκυνοῦντες τῷ Λόγῳ, ἵνα μὴ τομῆς φαντασία παρεισκρίνηται, διὰ τοῦ λέγειν τὸ σύν, ἀλλ' ὡς ἕνα καὶ τὸν αὐτὸν προσκυνοῦντες, ὅτι μὴ ἀλλότριον τοῦ Λόγου τὸ σῶμα αὐτοῦ, μεθ' οὗ καὶ αὐτῷ συνεδρεύει τῷ Πατρί· οὐχ ὡς δύο πάλιν συνεδρευόντων υἱῶν, ἀλλ' ὡς ἑνὸς καθ' ἕνωσιν μετὰ τῆς ἰδίας σαρκός. Ἐὰν δὲ τὴν καθ' ὑπόστασιν ἕνωσιν ἢ ὡς ἀνέφικτον ἢ ὡς ἀκαλλῆ παραιτώμεθα, ἐμπίπτομεν εἰς τὸ δύο λέγειν υἱούς. Ἀνάγκη γὰρ πᾶσα διορίσαι, καὶ εἰπεῖν τὸν μέν, ἄνθρωπον ἰδικῶς, τῇ τοῦ Υἱοῦ κλήσει τετιμημένον· ἰδικῶς δὲ πάλιν, τὸν ἐκ Θεοῦ Λόγον, Υἱότητος ὄνομά τε καὶ χρῆμα ἔχοντα φυσικῶς. Οὐ διαιρετέον τοιγαροῦν εἰς υἱοὺς δύο τὸν ἕνα Κύριον Ἰησοῦν Χριστόν. Ὠφέλησε κατ' οὐδένα τρόπον τὸν ὀρθὸν τῆς πίστεως λόγον εἰς τὸ οὕτως ἔχειν, κἂν εἰς προσώπων ἕνωσιν ἐπιφημίζουσί τινες. Οὐ γὰρ εἴρηκεν ἡ Γραφή, ὅτι ὁ Λόγος ἀνθρώπου πρόσωπον ἥνωσεν ἑαυτῷ, ἀλλ' ὅτι γέγονε σάρξ. Τὸ δὲ σάρκα γενέσθαι τὸν Λόγον οὐδὲν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*ἕτερόν ἐστιν, εἰ μὴ ὅτι παραπλησίως ἡμῖν μετέσχεν αἵματος καὶ σαρκός. Ἴδιον δὲ σῶμα τὸ ἡμῶν ἐποιήσατο, καὶ προῆλθεν ἄνθρωπος ἐκ γυναικός, οὐκ ἀποβεβληκὼς τὸ εἶναι Θεός, καὶ τὸ ἐκ Θεοῦ γεγεννῆσθαι Πατρός, ἀλλὰ καὶ ἐν προσλήψει σαρκὸς μεμενηκὼς ὅπερ ἦν.“ Τελευτῶν δὲ τὴν ἐπιστολὴν παρακαλεῖ τὸν Νεστόριον καὶ ἐξορκίζει αὐτὸν ἐνώπιον τοῦ Θεοῦ καὶ τῶν ἀγγέλων Αὐτοῦ, φρονεῖν οὕτω καὶ διδάσκειν, ἵνα σώζηται τῶν ἐκκλησιῶν ἡ εἰρήνη, καὶ τῆς ὁμονοίας καὶ ἀγάπης ὁ σύνδεσμος ἀρραγὴς διαμένῃ τοῖς ἱερεῦσι τοῦ Θεοῦ.*[1])

§. 18. *Ὁ Νεστόριος ἀπεκρίνατο μὲν εἰς τὴν ἐπιστολὴν ταύτην τοῦ ἁγίου Κυρίλλου μακρότερον ἢ πρότερον, ἀλλὰ πάνυ ἀποτόμως. Ἐν αὐτῇ τολμᾷ προτρέψαι τὸν σοφὸν ἱεράρχην μελετᾶν μετὰ μείζονος προσοχῆς τα τῶν ἁγίων Πατέρων συγγράμματα, οὐκ ὀρθῶς ὑπ' αὐτοῦ δῆθεν νοούμενα. Κατηγορεῖ αὐτοῦ διδάσκοντος δῆθεν ὅτι ἡ θεότης δύναται παθεῖν καὶ ἀποθανεῖν, καὶ ὑπερασπίζει ἰσχυρογνωμόνως τὰς πλάνας αὐτοῦ.*[2]) *Οὐ μόνον δὲ αὐτὸς ἐξέφερεν ἀσυστόλως τὰς ἑαυτοῦ πλάνας, ἀλλὰ καὶ τοὺς αὐθαδεστάτους τῶν κηρυττόντων αὐτὰς ὑπερήσπιζέ τε καὶ ὑπεστήριξεν. Οὕτω δ' ἄνθρωπος χρειοκόλαξ καὶ προπετὴς χείλεσι, Δωρόθεος ὁ ἐπίσκοπος Μαρκιανουπόλεως μητροπόλεως τῆς κάτω Μοισίας, καθεξομένου ἐπὶ τοῦ θρόνου τῆς ἐκκλησίας τοῦ Νεστορίου, ἐνώπιον πλείστων Χριστιανῶν, ἐτόλμησεν εἰπεῖν: „Εἴ τις Θεοτόκον εἶναι λέγει τὴν Μαρίαν, οὗτος ἀνάθεμα ἔστω.“ Ἅπας ὁ λαός, ἀκούσας τοὺς βλασφήμους τούτους λόγους, ἐξέβαλε κραυγὴν μεγάλην, καὶ ἐξῆλθε παραχρῆμα τῆς ἐκκλησίας, οὐ θέλων κοινωνεῖν ἀνθρώποις τοιαῦτα φρονοῦσιν· ὁ δὲ Νεστόριος οὐ μόνον ἐσίγησεν, ἀλλὰ καὶ ἐπέτρεψε τῷ βλασφήμῳ κοινωνῆσαι τῶν ἀχράντων μυστη-*

---

1) *Ἡ ἐπιστολὴ αὕτη τοῦ ἁγίου Κυρίλλου οὐ μόνον ὑπὸ τῆς κατὰ τὸ αὐτὸ ἔτος ἐν Ῥώμῃ συστάσης συνόδου, ὡς καὶ ὑπὸ τῆς ἐν Αἰγύπτῳ, ἐπῃνέθη καὶ ἐγένετο δεκτὴ ὡς ὀρθόδοξος καὶ παντελῶς ἀνεπίληπτος, ἀλλὰ καὶ ἐν τῇ οἰκουμενικῇ συνόδῳ τῆς Ἐφέσου ἀνεγνώσθη καὶ ἐνεκρίθη ὑφ' ἁπάντων. Ἐν τῇ ἐπὶ τοῦ ἁγ. Φλαβιανοῦ συνόδῳ τῆς Κωνσταντινουπόλεως (τῷ 448), Εὐσέβιος ὁ Δορυλαίου προὔβαλεν αὐτὴν ὡς κανόνα τῆς διδασκαλίας τῆς ἐκκλησίας κατὰ Νεστορίου καὶ Εὐτυχοῦς, ἐγκριθεῖσαν καὶ ὑπὸ τῶν Πατέρων τῆς συνόδου ταύτης, ἐν οἷς ὁ ἅγιος Φλαβιανὸς ὠνόμασεν αὐτὴν λόγον τοῦ ἁγίου Πνεύματος. Βλ.* Tillemont T. XIV, p. 338.

2) *Ἡ ἀπόκρισις αὕτη τοῦ Νεστορίου ἀναγνωσθεῖσα ἐν τῇ συνόδῳ τῆς Ἐφέσου ἀνεθεματίσθη ὡς ἐναντία τῇ ἁγίᾳ Γραφῇ καὶ τῇ διδασκαλίᾳ τῆς Ἐκκλησίας, καὶ ὡς πλήρης συκοφαντιῶν κατὰ τοῦ ἁγίου Κυρίλλου.*



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*ρίων.*[1]) *Μετὰ τὸ γεγονὸς τοῦτο ἅπας ὁ ὀρθόξος λαὸς τῆς Κωνσταντινουπόλεως ἐπαύσατο φοιτᾶν εἰς τὴν ἐκκλησίαν. „Τὰ δὲ μοναστήρια, γράφει ὁ ἅγιος Κύριλλος πρὸς τὸν ἅγ. Κελεστῖνον, σχεδὸν ἅπαντα, καὶ οἱ τούτων Ἀρχιμανδρῖται, καὶ τῆς συγκλήτου πολλοί, οὐ συνάγονται, δεδιότες μὴ ἀδικηθῶσιν εἰς πίστιν αὐτοῦ (Νεστορίου) καὶ τῶν σὺν αὐτῷ, οὓς ἀπὸ τῆς Ἀντιοχείας ἀναβαίνων ἤγαγε, πάντων λεγόντων τὰ διεστραμμένα." Οἱ δὲ ὀρθόδοξοι πρεσβύτεροι οὐκ ἠδύναντο διδάσκειν ἐλευθέρως τὴν ὀρθόδοξον διδασκαλίαν, ἀπηνῶς ὑπὸ τοῦ δυςσεβοῦς ἀρχιεπισκόπου αὐτῶν καταδιωκόμενοι. Οὕτω δεινὴ ἦν τότε ἡ τῶν ἐν Κωνσταντινουπόλει ὀρθοδόξων κατάστασις.*

§. 19. *Τούτων οὕτως ἐχόντων, ὁ μέγας τῆς ὀρθοδοξίας πρόμαχος Κύριλλος, ὑποσχόμενος, καθ' ἃ ἐπέστειλε πρὸς τοὺς ἐν Κωνσταντινουπόλει οἰκείους κληρικούς, γράψαι γράμματα ἃ δεῖ καὶ πρὸς οὓς δεῖ, καὶ λέγων ὅτι ἦν ἕτοιμος, διὰ τὴν εἰς Χριστὸν πίστιν καὶ καμεῖν καὶ ὑποστῆναι πᾶν ὁτιοῦν τῶν νομιζομένων εἶναι δεινῶν ἐν βασάνοις, ἕως οὗ καὶ τὸν ἡδὺν αὐτῷ διὰ τοῦτο ὑπομείνῃ θάνατον, ἔγραψε πρὸς τὸν αὐτοκράτορα Θεοδόσιον, καὶ πρὸς τὴν αὐτοκράτειραν, καὶ πρὸς τὰς τρεῖς τοῦ αὐτοκράτορος ἀδελφάς, Πουλχερίαν, Ἀρκαδίαν, καὶ Μαρίναν, τρία βιβλία* περὶ τῆς ὀρθῆς πίστεως, *ἐν οἷς σαφέστατα ἀναπτύσσει τὸ περὶ τῆς ἐνανθρωπήσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ δόγμα, καὶ ἄριστα ἀνασκευάζει τὴν ἀσεβῆ τοῦ Νεστορίου διδασκαλίαν, βουλόμενος προφυλάξαι τὰ ὑψηλὰ ταῦτα πρόσωπα ἀπὸ τῶν τοῦ αἱρεσιάρχου τούτου πλανῶν. Κατὰ τὸν αὐτὸν χρόνον, ὡς φαίνεται, ἔγραψε καὶ τὴν* κατὰ τῶν Νεστορίου δυςφημιῶν πεντάβιβλον ἀντίρρησιν, *διότι οὐδαμοῦ γίνεται ἐν αὐτῇ λόγος περὶ τῆς ὑπὸ τῆς οἰκουμενικῆς συνόδου καταδίκης τοῦ Νεστορίου, οὐδὲ μνεία ἐπὶ πλέον τοῦ ὀνόματος αὐτοῦ.*

§. 20. *Οἱ τοῦ Νεστορίου σπουδασταὶ οὐκ ἐπαύοντο ῥαδιουργοῦντες κατὰ τοῦ ἱεροῦ Κυρίλλου. Βουλόμενοι δὲ βλάψαι τὴν ἀγαθὴν αὐτοῦ ὑπόληψιν, διέδοσαν ὅτι ὁ ἐν Κωνσταντινουπόλει ἐγερθεὶς σάλος προῆλθε κατ' ἐξοχὴν ἐκ τῆς πρὸς τοὺς μοναχοὺς τῆς Αἰγύπτου ἐπιστολῆς αὐτοῦ. Τοῖς ἀγγείλασιν αὐτῷ τὴν κατηγορίαν ταύτην ἀπεκρίνατο, ὅτι ἔγραψεν ἐξ*

---

1) Ἐπ. ια, στ', ιδ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*ἀπαραιτήτου ἀνάγκης, καὶ ὅτι ὁ Νεστόριος ὤφειλε μᾶλλον ἀποδιδόναι τὸ κακὸν ταῖς ὁμιλίαις αὐτοῦ καὶ τῷ Δωροθέῳ, τῷ τολμήσαντι ἐνώπιον αὐτοῦ ἀναθεματίσαι δημοσίᾳ ἅπαντας τοὺς ἐπισκόπους τῆς τε Ἀνατολῆς καὶ τῆς Δύσεως διὰ τῆς προμνημονευθείσης αὐτοῦ ῥήσεως, τῆς ἐπιρριπτούσης ἀνάθεμα τοῖς καλοῦσι Θεοτόκον τὴν ἁγίαν Μαρίαν. „Τοιγαροῦν, λέγει, καὶ ἡμεῖς οἱ ζῶντες, καὶ κατὰ πᾶσαν τὴν οἰκουμένην ἐπίσκοποι, καὶ οἱ πρὸς Θεὸν ἀποδημήσαντες πατέρες ἡμῶν, ἀνεθεματίσθημεν. Τί οὖν ἐκώλυε καὶ ἡμᾶς ταῖς ἐκείνου φωναῖς γράψαι τἀναντία καὶ εἰπεῖν: εἴ τις οὐ λέγει Θεοτόκον εἶναι τὴν Μαρίαν, ἀνάθεμα; Ἀλλ' οὐ πεποίηκα τοῦτο, δι' αὐτὸν τέως, ἵνα μὴ λέγωσί τινες, ὅτι ἀνεθεμάτισεν αὐτὸν ὁ Ἀλεξανδρείας ἐπίσκοπος, ἤτοι ἡ σύνοδος ἡ αἰγυπτιακή“.[1])*

§. 21. *Ὅσον ἐλυπήθη ὁ θεῖος Πατὴρ ἐπὶ τῇ τόλμῃ τοῦ Δωροθέου, γίνεται δῆλον ἐν τῇ πρὸς Ἀκάκιον τὸν Βεροίας ἐπιστολῇ αὐτοῦ, ἔνθα λέγει: „Γεγόνασι τοίνυν ἀνάθεμα πρὸς Θεὸν ὄντες ἅγιοι πατέρες, καὶ πάντες ὅσοι τοῖς ὀρθοῖς τῆς ἀληθείας ἑπόμενοι δόγμασι Θεὸν ὁμολογοῦσι τὸν Χριστόν. Καὶ οὐ μέχρι τούτων ἡ ἐκ τῶν πραγμάτων ζημία· ἀλλὰ γὰρ καὶ διεστράφησαν αἱ τῶν λαῶν γνῶμαι. Τεθρήνηκα γὰρ ἀκούων τοὺς μὲν εἰς τοῦτο πεσόντας ἀπιστίας ἤδη καὶ ἀμαθίας, ὡς μηδὲ Θεὸν ὁμολογεῖν τὸν Χριστόν· τοὺς δέ, κἂν εἰ ἕλοιντο ὁμολογεῖν ὅλως αὐτὸν Θεόν, μηδὲν ὑγιὲς ἐπ' αὐτῷ δοξάζειν, ἀλλ' εὐδοκίᾳ καὶ χάριτι μεθ' ἡμῶν κεκλῆσθαι πρὸς τοῦτο λέγοντας. Ταῦτα θρήνου καὶ οἰμωγῆς ἄξια. Ποία γὰρ ὅλως ἡ χρεία καὶ εἰς μέσον ἄγεσθαι τὰ οὕτω λεπτὰ καὶ κεκρυμμένα;“[2])*

§. 22. *Ἡ εἰς τὴν δευτέραν ἐπιστολὴν τοῦ ἁγίου Κυρίλλου ἀπόκρισις τοῦ Νεστορίου, ἐν ᾗ ἐδηλοῦτο ἡ ἀσέβεια αὐτοῦ καὶ ἡ μετὰ τοῦ Δωροθέου κοινωνία, ἧς ἕνεκα ἀπεχωρίσθησαν αὐτῶν πολλοὶ τῶν ὀρθοδόξων, κατέπεισαν τὸν ἅγιον Κύριλλον, ὅτι οὐκ ἤρκουν ἁπλαῖ συμβουλαὶ καὶ προτροπαὶ πρὸς ἐπάνοδον τοῦ Νεστορίου εἰς τὴν ὀρθὴν πίστιν. Λίαν ἔθλιβεν αὐτὸν ἡ ἀξιοδάκρυτος κατάστασις, ἐν ᾗ εὑρίσκετο ἡ ἐκκλησία τῆς Κωνσταντινουπόλεως, καὶ οὐδαμῶς ἐλάνθανεν αὐτὸν ἡλίκος καὶ*

---

1) Ἐπιστ. η'.
2) Ἐπιστ. ιδ'.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ταῖς λοιπαῖς ἐπεκρέματο κίνδυνος, παρατεινομένης τῆς πλάνης. Οὐ μὴν ἀλλὰ οὐκ ἠβούλετο διαρρῆξαι τὴν μετὰ τοῦ Νεστορίου κοινωνίαν, καίπερ εὖ εἰδώς, ὅτι πρὸς κατάπαυσιν τῶν ταραχῶν οὐδὲν ἄλλο μέτρον ἦν καταλληλότερον τοῦ ἀναθεματίσαι αὐτὸν καὶ ἀποστῆναι πάσης ἀπ' αὐτοῦ κοινωνίας. Τούτου δ' ἦν ἄξιος ὁ Νεστόριος διά τε τὴν ἀσέβειαν αὐτοῦ καὶ διὰ τὸ ἀναθεματίσαι ἅπαντας τοὺς ἐπισκόπους διὰ τοῦ Δωροθέου. Ἡγήσατο δ' ἀναγκαῖον, συσκεψάμενος μετὰ τεσσάρων ἐπισκόπων, ἀφικομένων εἰς Ἀλεξάνδρειαν[1]), ἀγγεῖλαι πρότερον τῷ τῆς πρεσβυτέρας Ῥώμης ἐπισκόπῳ Κελεστίνῳ τὰ ἐκ τῆς ψευδοδιδασκαλίας τοῦ Νεστορίου προελθόντα καὶ αἰτήσασθαι τὴν γνώμην αὐτοῦ. „Γινωσκέτω δέ, γράφει αὐτῷ, καὶ τοῦτο ἡ σὴ Θεοσέβεια, ὅτι καὶ ἅπασι τοῖς κατὰ τὴν Ἀνατολὴν ἐπισκόποις συνᾴδει τὰ λεγόμενα· καὶ δυσχεραίνουσι πάντες καὶ λυποῦνται, καὶ μάλιστα οἱ κατὰ τὴν Μακεδονίαν εὐλαβέστατοι ἐπίσκοποι. Καὶ τοῦτο εἰδὼς (ὁ Νεστόριος) οἴεται, ὅτι πάντων ἐστὶ σοφώτερος, καὶ μόνος οἶδε τὸν σκοπὸν τῆς θεοπνεύστου Γραφῆς, καὶ τὸ τοῦ Χριστοῦ μυστήριον. Καίτοι πῶς οὐκ ἔδει πληροφορεῖσθαι μᾶλλον αὐτόν, ὅτι πάντων τῶν κατὰ πᾶσαν τὴν οἰκουμένην ἐπισκόπων καὶ λαϊκῶν ὁμολογούντων, ὅτι καὶ Θεὸς ἦν ὁ Χριστός, καὶ Θεοτόκος ἡ τεκοῦσα αὐτὸν Παρθένος, πλανᾶται μόνος αὐτὸς τοῦτο ἀρνούμενος; Ἀλλ' ὀφρύεται καὶ οἴεται, ὅτι τῇ δυναστείᾳ τοῦ θρόνου πᾶσιν ἐπιβουλεύων, καὶ ἡμᾶς ἢ καὶ τοὺς ἄλλους ἅπαντας ἀναπείσει τὰ αὐτὰ φρονεῖν αὐτῷ . . . Οἱ τοίνυν ἐμπεπιστευμένοι τοῦ λόγου τὴν οἰκονομίαν καὶ τῆς πίστεως τὴν ἀσφάλειαν, τὶ ἐροῦμεν ἐν ἡμέρᾳ κρίσεως, ὅταν ἐπὶ τούτοις σιγήσωμεν"; — Ἔπειτα δέ, παρακαλέσας αὐτὸν καταξιοῦσαι τυπῶσαι τὸ δοκοῦν, καὶ πῶς χρὴ κοινωνεῖν τῷ Νεστορίῳ, ἐπάγεται τάδε": Τὸν δὲ ἐπὶ τούτοις σκοπὸν τῆς σῆς Θεοσεβείας χρὴ γενέσθαι διὰ γραμμάτων καταφανῆ καὶ τοῖς εὐσεβεστάτοις καὶ θεοφιλεστάτοις ἐπισκόποις τοῖς κατὰ Μακεδονίαν, καὶ ἅπασι τοῖς κατὰ τὴν Ἀνατολήν. Ἐπιθυμοῦσι γὰρ αὐτοῖς δώσομεν ἀφορμὰς τοὺς πάντας μιᾷ ψυχῇ καὶ μιᾷ γνώμῃ στῆναι καὶ ἐπαγωνίσασθαι τῇ ὀρθῇ πίστει πολεμουμένῃ."[2])

---

1) Νικηφ. Κάλλ. ιδ, 33.

2) Ἐπ. ια'. Τὴν ἐπιστολὴν ταύτην ἐκόμισε τῷ Κελεστίνῳ ὁ διάκονος Ποσειδώνιος, ὡς καὶ τὰς πρὸς Νεστόριον δύο ἐπιστολὰς αὐτοῦ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

§. 23. *Περὶ τὸν αὐτὸν χρόνον ἔγραψε καὶ ὁ Νεστόριος πρὸς τὸν Κελεστῖνον, ἐλπίζων τὴν αὐτοῦ εὔνοιαν κτήσασθαι. Ἐν τῇ ἀρχῇ τῆς ἐπιστολῆς αὐτοῦ ποιεῖται λόγον περὶ τῶν ἐν Κωνσταντινουπόλει Πελαγιανῶν, οἷς καὶ μεγάλην εὔνοιαν ἔδειξε, δεξάμενος αὐτοὺς εἰς τὴν ἱερουργίαν καὶ τὴν θείαν κοινωνίαν. Ἐν ταύτῃ κατηγορεῖ τῶν ἀντιπάλων αὐτοῦ, ὅτι οὐ φρίττουσι λέγοντες Θεοτόκον τὴν ἁγίαν Παρθένον, καί, ὅπως καταστήσῃ αὐτοὺς μισητούς, προσεπιλέγει ὅτι ἀφίσταντο κατὰ τοῦτο τῆς διδασκαλίας τῶν ἁγίων Πατέρων τῆς ἐν Νικαίᾳ συνόδου, καθ' οὓς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐσαρκώθη ἐκ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς Παρθένου. Ὁ κομιστὴς τῆς ἐπιστολῆς ταύτης Ἀντίοχος ἐνετάλη ὑπὸ τοῦ Νεστορίου ἐγχειρίσαι τῷ Κελεστίνῳ καὶ τὰς ὁμιλίας αὐτοῦ, οὔσας οὐκ ὀλίγας τὸν ἀριθμόν.*

§. 24. *Ἐντεῦθεν συνεκροτήθη ἐν Ῥώμῃ κατὰ τὰς ἀρχὰς τοῦ Αὐγούστου σύνοδος, ἐν ᾗ ἐξητάσθησαν τὰ συγγράμματα τοῦ Νεστορίου καὶ παρεβλήθησαν πρὸς τὰ τῶν ἁγίων Πατέρων. Ἅπαντες οἱ ἐν τῇ συνόδῳ ταύτῃ παραγενόμενοι ἐπίσκοποι εὗρον ἐν αὐτοῖς διδασκαλίαν καινὴν καὶ ὅλως ἐναντίαν ἐκείνῃ, ἣν ἐδίδασκεν ἅπασα ἡ ὀρθόδοξος ἐκκλησία ὡς πρὸς τὸν Θεὸν καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καὶ διὰ τοῦτο ἐκήρυξαν τὸν Νεστόριον καθαιρετέον, ἐὰν μὴ ἐντὸς δέκα ἡμερῶν, ἀριθμουμένων ἀπὸ τῆς ἡμέρας τῆς παραλαβῆς τῆς ἐπιστολῆς τοῦ Πάπα, ἀθετήσῃ ἐγγράφῳ ὁμολογίᾳ τὰ κακὰ αὐτοῦ κηρύγματα, καὶ μὴ διαβεβαιώσηται ὅτι κατέχει τὴν πίστιν περὶ τῆς γεννήσεως τοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἣν καὶ ἡ Ῥωμαίων καὶ Ἀλεξανδρέων ἐκκλησία. Ἀγγέλλων ὁ Κελεστῖνος τῷ ἁγ. Κυρίλλῳ τὴν ἀπόφασιν ταύτην τῆς ἐν Ῥώμῃ συστάσης συνόδου ὑπὸ τὴν προεδρίαν αὐτοῦ, ἐξαίρει τὸν ὑπὲρ τῆς ἀληθείας ἔνθεον αὐτοῦ ζῆλον καὶ τὴν σταθερότητα. Τελευτῶν δὲ τὴν ἐπιστολὴν λέγει αὐτῷ, ὅτι ἔγραψε τὰ αὐτὰ καὶ πρὸς τοὺς ἁγίους ἀδελφοὺς καὶ συνεπισκόπους Ἰωάννην, Ῥοῦφον, Ἰουβενάλιον, καὶ Φλαβιανόν, ἵνα φανερὰ ᾖ ἡ περὶ τοῦ Νεστορίου ἀπόφασις αὐτοῦ, μᾶλλον δὲ ἡ τοῦ Χριστοῦ ἡμῶν.*[1])

---

*Ἐκόμισεν ὡσαύτως αὐτῷ καὶ ὑπομνηστικὸν τοῦ αὐτοῦ θείου Πατρός, ὅπερ ἀνεκεφαλαίου τὴν τοῦ Νεστορίου διδασκαλίαν.*

1) *Κατὰ τὸν αὐτὸν χρόνον ἔγραψεν ὁ ἅγιος Κελεστῖνος τῷ Νεστορίῳ ἐπιστολήν, ἐν ᾗ ἔλεγεν αὐτῷ, ὅτι ἠπατήθη ἀγαθὴν περὶ αὐτοῦ σχὼν γνώμην, ὅτι ἀναγνοὺς τὰς ἐπιστολὰς καὶ τὰ βιβλία, ἅτινα ἀπέστειλεν*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

§. 25. *Κομισάμενος ὁ ἅγιος Κύριλλος τὰς ἐπιστολάς, ἃς ἔγραψεν ὁ Πάπας αὐτῷ τε καὶ τοῖς λοιποῖς, ἔσπευσεν ἀποστεῖλαι αὐτὰς πρὸς οὓς ἐπέμποντο διὰ τοῦ Ποσειδωνίου, καὶ αὐτὸς ἐπιστείλας αὐτοῖς. Ἐν τῇ πρὸς τὸν Ἱεροσολύμων Ἰουβενάλιον λέγει, ὅτι ἡ αὐτὴ ἀγάπη, ἐξ ἧς παρορμώμενος εὔχεται τῷ Νεστορίῳ πάντα τἀγαθά, ἀναγκάζει αὐτοὺς λαβεῖν κατ' αὐτοῦ τὰ δέοντα μέτρα, ἐὰν μὴ ἀλλοφρονήσῃ, καὶ παρακαλεῖ αὐτὸν γράψαι ἰδιαίτερον τῷ Αὐτοκράτορι καὶ ἅπασι τοῖς ἐν τέλει, „καὶ συμβουλεῦσαι μὴ προτιμῆσαι τῆς ἐν Χριστῷ εὐσεβείας ἄνθρωπον, ἀλλὰ χαρίσασθαι τῇ οἰκουμένῃ τὸ βέβαιον εἰς πίστιν ὀρθήν, καὶ ποιμένος ἀπαλλάξαι πονηροῦ τὰ θρέμματα.“*[1])

§. 26. *Πρὶν ἢ ἀποστείλῃ ὁ ἅγιος Κύριλλος τῷ Νεστορίῳ τὴν τοῦ Κελεστίνου ἐπιστολήν, συνεκάλεσεν εἰς Ἀλεξάνδρειαν σύνοδον ἐξ ἐπισκόπων Αἰγυπτίων κατὰ τὸν Νοέμβριον τοῦ* 430 *πρὸς σύσκεψιν περὶ τῆς γνώμης τῶν ἐπισκόπων τῆς Δύσεως. Ἡ σύνοδος αὕτη ἐνέκρινε τὰς ἀποφάσεις τῆς ἐν Ῥώμῃ συνόδου καὶ τὰς πρὸς τὸν Νεστόριον δύο ἐπιστολὰς τοῦ ἁγίου Κυρίλλου, ὃς καὶ τρίτην ἔγραψεν αὐτῷ ἐν ὀνόματι ταύτης τῆς συνόδου. Εἰπὼν δ' αὐτῷ ἐν τῇ ἐπιστολῇ ταύτῃ ὁ ἅγιος*

---

*αὐτῷ, κατεῖδεν ὅτι αἱ ἐν αὐτοῖς περὶ τοῦ Λόγου τοῦ Θεοῦ δοξασίαι εἰσὶ τέλειως ἐναντίαι τῇ καθολικῇ πίστει. Ὑπομιμνήσκει αὐτὸν τὰς ὑπὸ τοῦ ἁγίου Κυρίλλου γραφείσας αὐτῷ δύο ἐπιστολάς, καὶ λέγει, ὅτι μετὰ τὴν ἐπιτίμησιν αὐτοῦ, ἀποκλεισθήσεται τῆς κοινωνίας ἁπάσης τῆς ἐκκλησίας. Ἑρμηνεύει αὐτῷ τοὺς λόγους τοῦ Ἀποστόλου: οἶδα, ὅτι εἰσελεύσονται μετὰ τὴν ἐμὴν ἀναχώρησιν λύκοι βαρεῖς καθ' ὑμῶν, μὴ φειδόμενοι τῆς ἀγέλης, διότι ἀντὶ τοῦ ἐγρηγορεῖν περὶ τῶν ἰδίων προβάτων, κατεσπάρασσεν αὐτά, καταδιώκων τοὺς ἀκολουθοῦντας τῇ καθολικῇ πίστει. Παρίστησιν αὐτῷ, ὅτι ἅπαντες οἱ κατὰ τῆς ἐκκλησίας ἐξαναστάντες ἡττήθησαν, καὶ ἔπειτα λέγει αὐτῷ: „Ἰατρέ, θεράπευε σεαυτόν, ὁ βοηθεῖν ἄλλοις σκεπτόμενος. Ἡ ποιότης τῆς νόσου τῆς σῆς οὔτε ἐπιδέχεται οὔτε ἐπιτρέπει δοθῆναι ἀνακωχήν. Τοῦ ἱερέως τῆς Ἀλεξανδρέων ἐκκλησίας τὴν πίστιν ἐσχήκαμεν, καὶ ἔχομεν δεδοκιμασμένην. Καὶ σὺ δι' αὐτοῦ ὑπομνησθείς, τὰ αὐτὰ ἡμῖν πάλιν φρόνησον, εἰ μεθ' ἡμῶν θέλεις εἶναι, ὦ ἀδελφέ. Εἰ δέδοται ἄρα σοι σύνεσις, πάντων καταγνούς, ὧν ἄχρι τοῦ παρόντος ἐφρόνησας, εὐθὺς ταῦτα, ὡς θέλομεν, κήρυττε, ἅπερ αὐτὸν κηρύττοντα καθορᾷς . . .“ Αἱ ἐπιστολαὶ αὗται τοῦ ἁγ. Κελεστίνου, ἐκτὸς τῆς πρὸς τὸν ἅγ. Κύριλλον, οὔσης ἐν τοῖς συγγράμμασιν αὐτοῦ* T. X, p. 89—94, ed. Migne, *εὕρηνται* in epist. Roman. Pontific. ed. Constant, *καὶ ἐν τοῖς Πρακτ. τῆς ἐν Ἐφ. Συν. Μ. Α. κεφ.* 15, 18. 19. 20. (Mansi T. IV, col. 1017—22 et 1025—50.) *πρβλ.* Garner. in Opp. Marii Mercat. P. 11 p. 336—37. Tillemont l. c. Art. XXXVII (p. 350—352). Pagi Crit. ad a. 430, n. 4—6 *καὶ* Dupin T. IV, p. 290.

1) *Ἐπιστ. ιζ'.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Κύριλλος ὅτι, ἐὰν μὴ πράξῃ κατὰ τὴν ἐν τοῖς γράμμασι τοῦ Κελεστίνου ορισθεῖσαν προθεσμίαν, οὐκ ἔσται ἔχων κλῆρον μετ' αὐτοῦ, οὐδὲ τόπον ἢ λόγον ἐν τοῖς ἱερεῦσι τοῦ Θεοῦ καὶ ἐπισκόποις, προσέθηκεν: „οὐκ ἀρκέσει δὲ τῇ σῇ εὐλαβείᾳ τὸ συνομολογῆσαι μόνον τὸ τῆς πίστεως σύμβολον, τὸ ἐκτεθὲν κατὰ καιροὺς ἐν Ἁγίῳ πνεύματι παρὰ τῆς ἁγίας καὶ μεγάλης συνόδου, τῆς κατὰ καιροὺς συναχθείσης ἐν τῇ Νικαέων. Νενόηκας γὰρ καὶ ἡρμήνευκας οὐκ ὀρθῶς αὐτό, διεστραμμένως δὲ μᾶλλον, κἂν ὁμολογῇς τῇ φωνῇ τὴν λέξιν. Ἀλλὰ γὰρ ἀκόλουθον ἐγγράφως καὶ ἐνωμότως ὁμολογῆσαι, ὅτι καὶ ἀναθεματίζεις μὲν τὰ μιαρὰ σαυτοῦ καὶ βέβηλα δόγματα· φρονήσεις δὲ καὶ διδάξεις, ἃ καὶ ἡμεῖς πάντες, οἵ τε κατὰ τὴν Ἑσπέραν καὶ τὴν Ἑῴαν ἐπίσκοποι, καὶ διδάσκαλοι, καὶ λαῶν ἡγούμενοι.“ Ἐν τῇ ἐπιστολῇ ταύτῃ περιέχεται ἡ ὁμολογία τῆς πίστεως κατὰ τὸ Σύμβολον τῆς Νικαίας, καὶ προστέθειται μακρὰ καὶ ἀκριβὴς τοῦ τῆς ἐνανθρωπήσεως μυστηρίου ἐξήγησις. Ἐν τῇ περιστάσει ταύτῃ ὁ ἅγιος Κύριλλος ἀνέπτυξε καὶ διεσάφησεν ὁλόκληρον δογματικὸν σύστημα ὡς πρὸς τὴν ἕνωσιν τῶν δύο φύσεων ἐν Χριστῷ. Τῇ ἐπιστολῇ ταύτῃ συμπαρέζευξε καὶ τὰ πολυθρύλητα δώδεκα κεφάλαια μετ' ἀναθεματισμῶν*[1]*), ἐν οἷς*

---

1) *Τὰ κεφάλαια ταῦτα παρατιθέμεθα ἐνταῦθα, ἔχοντα ὧδε:*

*Α'. Εἴ τις οὐχ ὁμολογεῖ Θεὸν εἶναι κατὰ ἀλήθειαν τὸν Ἐμμανουήλ, καὶ διὰ τοῦτο Θεοτόκον τὴν ἁγίαν Παρθένον (γεγέννηκε γὰρ σαρκικῶς σάρκα γεγονότα τὸν ἐκ Θεοῦ Λόγον), ἀνάθεμα ἔστω.*

*Β'. Εἴ τις οὐχ ὁμολογεῖ, σαρκὶ καθ' ὑπόστασιν ἡνῶσθαι τὸν ἐκ θεοῦ Πατρὸς Λόγον, ἕνα τε εἶναι Χριστὸν μετὰ τῆς ἰδίας σαρκός, τὸν αὐτὸν δηλονότι Θεὸν ὁμοῦ καὶ ἄνθρωπον, ἀνάθεμα ἔστω.*

*Γ'. Εἴ τις ἐπὶ τοῦ ἑνὸς Χριστοῦ διαιρεῖ τὰς ὑποστάσεις μετὰ τὴν ἕνωσιν, μόνῃ συνάπτων αὐτὰς συναφείᾳ τῇ κατὰ τὴν ἀξίαν, ἤγουν αὐθεντίᾳ ἢ δυναστείᾳ, καὶ οὐχὶ δὴ μᾶλλον συνόδῳ τῇ καθ' ἕνωσιν φυσικήν, ἀνάθεμα ἔστω.*

*Δ'. Εἴ τις προσώποις δυσίν, ἤγουν ὑποστάσεσι, τάς τε ἐν τοῖς εὐαγγελικοῖς καὶ ἀποστολικοῖς συγγράμμασι διανέμει φωνάς, ἢ ἐπὶ Χριστῷ παρὰ τῶν ἁγίων λεγομένας, ἢ παρ' αὐτοῦ περὶ ἑαυτοῦ, καὶ τὰς μὲν ὡς ἀνθρώπῳ παρὰ τὸν ἐκ Θεοῦ Λόγον ἰδικῶς νοουμένῳ προσάπτει, τὰς δὲ ὡς θεοπρεπεῖς μόνῳ τῷ ἐκ Θεοῦ Πατρὸς Λόγῳ, ἀνάθεμα ἔστω.*

*Ε'. Εἴ τις τολμᾷ λέγειν Θεοφόρον ἄνθρωπον τὸν Χριστόν, καὶ οὐχὶ δὴ μᾶλλον Θεὸν εἶναι κατὰ ἀλήθειαν, ὡς Υἱὸν ἕνα καὶ φύσει, καθὸ γέγονε σὰρξ ὁ Λόγος, καὶ κεκοινώνηκε παραπλησίως ἡμῖν αἵματος καὶ σαρκός, ἀνάθεμα ἔστω*

*Ϛ'. Εἴ τις τολμᾷ λέγειν, Θεὸν ἢ Δεσπότην εἶναι τοῦ Χριστοῦ τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον, καὶ οὐχὶ δὴ μᾶλλον τὸν αὐτὸν ὁμολογεῖ Θεὸν ὁμοῦ*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*περιλαμβάνεται ἅπασα ἡ οὐσία τῆς ὑποθέσεως, τῶν ἀναθεματισμῶν τούτων ἐκπεμπομένων καθ᾽ ἁπασῶν τῶν αἱρετικῶν δοξασιῶν, τῶν ὑπὸ τοῦ Νεστορίου ὑποστηριζομένων. Σύναμα ἔγραψεν ἐξ ὀνόματος τῆς συνόδου δύο ἐπιστολάς, τὴν μὲν πρὸς τὸν κλῆρον καὶ τὸν λαὸν τῆς Κωνσταντινουπόλεως, ἐν ᾗ παραινεῖ αὐτοὺς μὴ προσέχειν τῇ δυσσεβεῖ τοῦ Νεστορίου διδασκαλίᾳ, μηδὲ κοινωνεῖν αὐτῷ, ἀλλ᾽ ἀνδρίζεσθαι ἐν Κυρίῳ καὶ τὴν ἑαυτῶν πίστιν τηρεῖν ἀπαρακόμιστον· τὴν δ᾽ ἑτέραν πρὸς τοὺς πατέρας τῶν μοναστηρίων, ἐν ᾗ ἐπαινεῖ τὸν ζῆλον, ὃν ἔδειξαν ἐν ταύτῃ τῇ ὑποθέσει, καὶ προτρέπει αὐτοὺς μὴ παύσασθαι τοῦ δηλοῦν καὶ ἔχειν τὴν αὐτὴν σταθερότητα. Ἐν τῇ τελευταίᾳ ταύτῃ ἐπιστολῇ λέγει περὶ ἑαυτοῦ: „Κλαίοντες δὲ διατελοῦμεν, καὶ παρακαλοῦντες τὸν τῶν ὅλων Σωτῆρα Χριστόν,*

---

τε καὶ ἄνθρωπον, ὡς γεγονότος σαρκὸς τοῦ Λόγου, κατὰ τὰς Γραφάς, ἀνάθεμα ἔστω.

Ζ΄. Εἴ τίς φησιν, ὡς ἄνθρωπον ἐνηργῆσθαι παρὰ τοῦ Θεοῦ Λόγου τὸν Ἰησοῦν, καὶ τὴν τοῦ Μονογενοῦς εὐδοξίαν περιῆφθαι, ὡς ἕτερον παρ᾽ αὐτὸν ὑπάρχοντα, ἀνάθεμα ἔστω.

Η΄. Εἴ τις τολμήσει λέγειν τὸν ἀναληφθέντα ἄνθρωπον συμπροσκυνεῖσθαι δεῖν τῷ Θεῷ Λόγῳ, καὶ συνδοξάζεσθαι, καὶ συγχρηματίζειν Θεόν, ὡς ἕτερον ἐν ἑτέρῳ (τὸ γὰρ σὺν, ἀεὶ προστιθέμενον, τοῦτο νοεῖν ἀναγκάζει), καὶ οὐχὶ δὴ μᾶλλον μιᾷ προσκυνήσει, τιμᾷ τὸν Ἐμμανουήλ, καὶ μίαν αὐτῷ τὴν δοξολογίαν ἀναπέμπει, καθὸ γέγονε σὰρξ ὁ Λόγος, ἀνάθεμα ἔστω.

Θ΄. Εἴ τίς φησι τὸν ἕνα Κύριον Ἰησοῦν Χριστὸν δεδοξάσθαι παρὰ τοῦ Πνεύματος ὡς ἀλλοτρίᾳ δυνάμει τῇ δι᾽ αὐτοῦ χρώμενον, καὶ παρ᾽ αὐτοῦ λαβόντα τὸ ἐνεργεῖν δύνασθαι κατὰ πνευμάτων ἀκαθάρτων, καὶ τὸ πληροῦν εἰς ἀνθρώπους τὰς Θεοσημείας, καὶ οὐχὶ δὴ μᾶλλον ἴδιον αὐτοῦ τὸ πνεῦμά φησι, δι᾽ οὗ καὶ ἐνήργηκε τὰς Θεοσημείας, ἀνάθεμα ἔστω.

Ι΄. Ἀρχιερέα καὶ ἀπόστολον τῆς ὁμολογίας ἡμῶν γεγενῆσθαι Χριστὸν ἡ Θεία λέγει Γραφή, προσκεκομικέναι ὑπὲρ ἡμῶν ἑαυτὸν εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ καὶ Πατρί. Εἴ τις τοίνυν ἀρχιερέα καὶ ἀπόστολον ἡμῶν γεγενῆσθαί φησιν, οὐκ αὐτὸν τὸν ἐκ Θεοῦ Λόγον, ὅς γέγονε σὰρξ καὶ καθ᾽ ἡμᾶς ἄνθρωπος, ἀλλ᾽ ὡς ἕτερον παρ᾽ αὐτὸν ἰδικῶς ἄνθρωπον ἐκ γυναικός, ἢ εἴ τις λέγει, καὶ ὑπὲρ ἑαυτοῦ προσενεγκεῖν αὐτὸν τὴν προσφοράν, καὶ οὐχὶ δὴ μᾶλλον ὑπὲρ μόνων ἡμῶν (οὐ γὰρ ἂν ἐδεήθη προσφορᾶς ὁ μὴ εἰδὼς ἁμαρτίαν), ἀνάθεμα ἔστω.

ΙΑ΄. Εἴ τις οὐχ ὁμολογεῖ τὴν τοῦ Κυρίου σάρκα ζωοποιὸν εἶναι, καὶ ἰδίαν αὐτοῦ τοῦ ἐκ Θεοῦ Πατρὸς Λόγου, ἀλλ᾽ ὡς ἑτέρου τινὸς παρ᾽ αὐτόν, συνημμένου μὲν αὐτῷ κατὰ τὴν ἀξίαν, ἤγουν, ὡς μόνην θείαν ἐνοίκησιν ἐσχηκότος, καὶ οὐχὶ δὴ μᾶλλον ζωοποιόν, ὡς ἔφημεν, ὅτι γέγονεν ἰδία τοῦ Λόγου τοῦ τὰ πάντα ζωογονεῖν ἰσχύοντος, ἀνάθεμα ἔστω.

ΙΒ΄. Εἴ τις οὐχ ὁμολογεῖ τὸν τοῦ Θεοῦ Λόγον παθόντα σαρκί, καὶ ἐσταυρωμένον σαρκί, καὶ θανάτου γευσάμενον σαρκί, γεγονότα τε πρωτότοκον ἐκ τῶν νεκρῶν, καθὸ ζωή τέ ἐστι καὶ ζωοποιὸς ὡς Θεός, ἀνάθεμα ἔστω.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νῦν θραῦσαι τὴν τοῦ διαβόλου παγίδα, καὶ περιελεῖν τῶν ἐκκλησιῶν τὸ σκάνδαλον, καὶ παῦσαι τὰς κατὰ τῆς δόξης αὐτοῦ δυσφημίας.“[1]) Ὁμοῦ μετὰ τῆς ἐπιστολῆς πρὸς τὸν Νεστόριον ἐξ ὀνόματος τῆς συνόδου τῆς Αἰγύπτου ἀπεστάλησαν εἰς Κωνσταντινούπολιν τέσσαρες ἐπίσκοποι, οἳ ὤφειλον ἐγχειρίσαι αὐτῷ καὶ τὴν τοῦ ἁγίου Κελεστίνου.

§. 27. Τὰ ὑπὸ τῆς ἐν Ῥώμῃ συνόδου ἀποφασισθέντα ἔμαθεν ὁ Νεστόριος πρὸ τῆς τῶν Αἰγυπτίων ἐπισκόπων ἀφίξεως ἐξ ἐπιστολῆς τοῦ Ἀντιοχείας Ἰωάννου.[2]) Ἡ ἀνάγνωσις αὐτῶν

1) ἐπ. ιθ'.

2) Ὁ Ἀντιοχείας Ἰωάννης ἦν φίλος τοῦ Νεστορίου, ἀνήκοντος πρότερον εἰς τὸν κλῆρον αὐτοῦ. Πρὸς τοῖς ἀντιγράφοις τῆς ἐπιστολῆς τοῦ Κελεστίνου καὶ αὐτῶν τῶν τοῦ Κυρίλλου περὶ τῆς ὑποθέσεως ταύτης, ἀπέστειλε καὶ ἰδίαν ἐπιστολὴν, πάνυ θαυμαστὴν, ἄριστα συντεταγμένην, καὶ ἀξίαν ἧς ὁ ἱεράρχης οὗτος ἀπήλαυεν ὑπολήψεως. Ἐν ταύτῃ διαβεβαιοῦται τὸν Νεστόριον περὶ τῆς φιλίας αὐτοῦ, καὶ ὑπισχνεῖται ἀποδεῖξαι αὐτῷ τοῦτο· λέγει, ὅτι ου δύναται ἐκπληρῶσαι κάλλιον ταύτην τὴν ὑπόσχεσιν, ἢ συμβουλεύων ἃ ἡγεῖται ὠφελιμώτατα αὐτῷ, καὶ ἐλπίζει, ὅτι βεβαιωθεὶς περὶ τῆς εἰλικρινείας αὐτοῦ, ἀποδεχθήσεται προθύμως ἣν δίδωσιν αὐτῷ συμβουλήν. Ἔπειτα λέγει: „. . . τὸ γὰρ χρήσασθαι προσφόρῳ ὀνόματι ἐν τῇ κατὰ τὸν παμβασιλέα Χριστὸν ὑπὲρ ἡμῶν οἰκονομίᾳ, τετριμμένῳ μὲν πολλοῖς τῶν Πατέρων, ἐπαληθεύοντι δὲ καὶ τῇ σωτηρίῳ ἐκ Παρθένου γεννήσει, τοῦτο ῥάδιον· ὅπερ οὔτε ὡς ἐπικίνδυνον χρὴ παραιτήσασθαι τὴν σὴν ὁσιότητα, οὔτε ἐκεῖνο ὑπολογίσασθαι, ὡς οὐ χρὴ σεαυτῷ τἀναντία ἐκθέσθαι. Εἰ γὰρ ἡ διάνοιά σου τοῦ αὐτοῦ τοῖς πατράσι καὶ τοῖς ἐκκλησίας διδασκάλοις φρονήματος ἔχεται, τοῦτο γὰρ διὰ πολλῶν καὶ κοινῶν φίλων περὶ σοῦ, δέσποτα, μεμαθήκαμεν, τί λυπεῖ τὸ εὐσεβὲς φρόνημα καταλλήλῳ ὀνόματι δημοσιεῦσαι; καὶ τότε τοσαύτης περικειμένης ταραχῆς, καὶ τοσαύτης ζητήσεως ἐκ σοῦ . . . Ἐπειδή σοι πολλάκις πρὸ πολλοῦ εἴρηται, ὡς μεμαθήκαμεν, ὡς οὐκ ἐκτρεπόμενος τὴν εὐσεβῆ ταύτην διάνοιαν, μόνον τὸ ὄνομα παραιτεῖ· εἰ δὲ σοί τινες τῶν ἐν τῇ ἐκκλησίᾳ ἐπισήμων καὶ τοῦτο ὑπόθοιντο, οὐκ ἂν παραιτήσαιο ἀνενδοιάστως καὶ Θεοτόκον τὴν ἁγίαν Παρθένον εἰπεῖν. Τούτου ἕνεκα ἐπὶ τόσον σὲ προτρέπω προσενεγκεῖν, ἐκκαλούμενος ὅπερ μεμαθήκαμεν μὴ διασφάλλεσθαι τε φρονοῦντα, προστιθέντα δὲ ῥῆμα πράγματι καὶ ὄνομα πολλοῖς τῶν Πατέρων καὶ συντεθὲν, καὶ γραφὲν, καὶ ῥηθὲν· καὶ μὴ παραιτήσασθαι ῥῆμα ὅλως τὴν κατὰ ψυχὴν ἔλεγχον εὐσεβῆ διάνοιαν. Τοῦτο γὰρ τὸ ὄνομα οὐδεὶς τῶν ἐκκλησιαστικῶν διδασκάλων παρήτηται. Οἵ τε γὰρ χρησάμενοι αὐτῷ πολλοὶ καὶ ἐπίσημοι, οἵ τε μὴ χρησάμενοι οὐκ ἐπελάβοντο τῶν χρησαμένων . . . Εἰ γὰρ τὸ ἐξ αὐτοῦ σημαινόμενον μὴ παραδεχόμεθα, λείπεται περὶ πολλὰ ἡμᾶς διασφάλλεσθαι, μᾶλλον δὲ κινδυνεύειν περὶ τὴν ἄρρητον οἰκονομίαν τοῦ Μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ. Ἀκολουθήσει γὰρ εὐθὺς τῇ τοῦ ὀνόματος τούτου ἀναιρέσει, εἴτ' οὖν τῷ ἐξ αὐτοῦ σημαινομένῳ, τὸ μήτε Θεὸν εἶναι τὸν τὴν ἄρρητον οἰκονομίαν ὑπὲρ ἡμῶν ἀναδεξάμενον, μήτε μὴν τὸν Θεὸν Λόγον κενώσαντα ἑαυτὸν εἰς τὴν τοῦ δούλου μορφήν, ἄφατόν τι περὶ ἡμᾶς ἐπιδεδεῖχθαι φιλανθρωπίας μέγεθος . . .“ Ἡ ἐπιστολὴ αὕτη εὕρηται ἐν τοῖς πρακ. τῆς ἐν Ἐφ. Συν. Μέρ. Α'. κεφ. 25 (Mansi

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*λίαν ἠρέθισεν αὐτόν· ὅπως δὲ καταπραΰνῃ τὸν λαόν, ᾧ τάχιστα ἐγένετο γνωστὴ ἡ τῶν ἐν Ῥώμῃ καὶ Ἀλεξανδρείᾳ συνόδων ἀπόφασις, ἀπήγγειλε κατὰ τοῦ ἁγίου Κυρίλλου μακρὸν καὶ σφοδρὸν λόγον, ἐν ᾧ κατηγόρει τοῦ συγγραφέως τῶν ἀναθεματισμῶν ὡς Ἀπολλιναριστοῦ καὶ Ἀρειανοῦ*[1]*, καὶ ἔγραψε δώδεκα ὡσαύτως ἀναθεματισμοὺς ἀντιθέτους τοῖς τοῦ Κυρίλλου.*[2]

§. 28. *Ἰωάννης ὁ Ἀντιοχείας, λαβὼν ἀντίγραφον τῆς τελευταίας τοῦ ἁγίου Κυρίλλου ἐπιστολῆς, ἠγανάκτησεν ἐπὶ τοῖς δώδεκα αὐτοῦ ἀναθεματισμοῖς, καὶ ἐνόμισεν ὅτι θέλων οὗτος ἀντειπεῖν τῷ Νεστορίῳ, ὑπερέβαλε τὸ μέτριον, καὶ ἐνέπεσε τῇ τοῦ Ἀπολλιναρίου αἱρέσει. Τῇ ἀξιώσει αὐτοῦ πειθόμενοι Ἀνδρέας ὁ Σαμοσάτων καὶ Θεοδώρητος ὁ Κύρου, ἄνδρες τῆς τε ἱερᾶς παιδείας εὖ ἥκοντες, καὶ εὐσεβείᾳ οὐδὲν ἧττον καὶ ἠθῶν εὐκοσμίᾳ καὶ ἁγιότητι καλλυνόμενοι, προήχθησαν γράψαι κατὰ τῶν ἐκδοθέντων ὑπὸ τοῦ θείου Κυρίλλου ἀναθεματισμῶν. Ὁ μὲν Ἀνδρέας ἔγραψεν ἐν ὀνόματι τῶν τῆς Ἀνατολῆς ἐπισκόπων, ὁ δὲ Θεοδώρητος ἔθηκε τὸ ὄνομα αὐτοῦ ἐν τῇ αὐτοῦ ἀντιρρήσει, οὔσῃ πολλῷ σφοδροτέρᾳ τῆς τοῦ Ἀνδρέου*[3]*, διαδοθείσῃ ὑπ' αὐτοῦ ἀνὰ τὴν Φοινίκην καὶ τὰς ἐγγὺς κειμένας χώρας, καὶ ἀποσταλείσῃ εἰς Κωνσταντινούπολιν,*

---

T. IV, col. 1061—1068)· *ἡ δὲ ἀπόκρισις εἰς ταύτην τοῦ Νεστορίου* in Synod. adv. tragoed. Irenaei c. 3. *Πρβλ.* Tillemont Art. XXXVIII (p. 354—356), Dupin T. IV, p. 290. Pagi Crit. a. 430 n. 21.

1) XII serm. Nestor. in op. Mercator. Patrol. curs. t. 48, p. 848.

2) *Πρ. τῆς ἐν Ἐφ. Συν.* Mansi T. IV, col. 1109—1110. *Ὁ Μάριος Μερκάτωρ, ἐν Κωνσταντινουπόλει τότε ὤν, ἔγραψεν ἀπόκρισιν εἰς τοὺς δώδεκα ἀναθεματισμοὺς τοῦ Νεστορίου πρὸς ὑπεράσπισιν τοῦ ἁγίου Κυρίλλου. Ἡ ἐπιγραφὴ τῆς ἀποκρίσεως ἔχει ὧδε: „τὰ δώδεκα ἄρθρα τῶν βλασφημιῶν τοῦ Νεστορίου, δι' ὧν ἀντιλέγει ταῖς ἐπιστολαῖς ταῖς ἀποσταλείσαις αὐτῷ ὑπὸ τοῦ ἁγίου Κελεστίνου, ἐπισκόπου Ῥώμης, καὶ Κυρίλλου τοῦ Ἀλεξανδρείας. σπουδάζει δὲ διὰ πάνυ βραχειῶν ἀποκρίσεων ἀνασκευάσαι τὰ δώδεκα ἄρθρα τῆς πίστεως, τὰ ἀποσταλέντα αὐτῷ.“ Προτάσσομεν, λέγει, τὰ τοῦ ἁγίου Κυρίλλου, ἅπερ ἐνέκρινεν ἡ ῥωμαϊκὴ ἐκκλησία ἀληθεῖ κρίσει, καὶ ἔπειτα τὰ τοῦ Νεστορίου, ταῦτά τε καὶ ἐκεῖνα μεταφρασθέντα ἐκ τῆς ἑλληνικῆς εἰς τὴν λατινικήν. „Ἡ μετάφρασις αὕτη τοῦ Μερκάτορος διέσωσε τοὺς ἀναθεματισμοὺς τοῦ Νεστορίου, ὧν τὸ ἑλληνικὸν κείμενον ἀπώλετο.*

3) *„Οὐδενὸς δὲ, λέγει ὁ μέγας Εὐγένιος ὁ Βούλγαρις, ἐς τοσοῦτον, ὅσον τὰ ὑπὸ Θεοδωρήτου γεγραμμένα τεθρύλληται ἀντιρρητικὰ, ἅ, τῇ μὲν, Ἰωάννου τῇ ἀξιώσει πειθόμενος, τῇ δὲ, καὶ τῆς ἀληθείας ὥσπερ ὑπεραμύνων, ἣν ἐν τοῖς Κυριλλείοις δογματισμοῖς ἀθετουμένων πολλαχοῦ ὁρᾶν ἐδόκει, σφοδρότερον τοῦ δέοντος συνετάξατο. Ἀμέλει τοι μὴ καθαρῷ, μηδ' ἀθολώτῳ τῆς ψυχῆς τῷ βλέμματι τοῖς ἐκείνου ἐναπιδὼν κεφαλαίοις,*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὅθεν Εὐόπτιος ὁ Πτολαιμαΐδος ἔπεμψεν αὐτὴν πρὸς τὸν ἅγ. Κύριλλον. Ἡ πρὸς τὸν ἅγιον δὲ Κύριλλον διαφωνία τοῦ τε Ανδρέου καὶ τοῦ Θεοδωρήτου προήρχετο μᾶλλον ἐκ παρανοήσεων, πράγματι ὄντων συμφώνων αὐτῷ.

§. 29. Ὁ ἅγιος Κύριλλος ἔγραψεν ἀμελλητὶ πρὸς ὑπεράσπισιν τῆς ἑαυτοῦ διδασκαλίας, ἥπερ ἦν ἡ τῆς καθολικῆς Ἐκκλησίας· ἔγραψεν δηλ. ἀπολογητικὸν ὑπὲρ τῶν δώδεκα κεφαλαίων εἰς ἀπόκρισιν τῆς ὑπὸ τὸ ὄνομα τῶν ἐπισκόπων τῆς Ἀνατολῆς πραγματείας τοῦ Ἀνδρέου. Ἀποκρίνεται δὲ εἰς ἕκαστον ἄρθρον, τιθεὶς πρῶτον τὸ ἑαυτοῦ ἄρθρον, καὶ ἔπειτα τὴν ἀντίρρησιν τῶν Ἀνατολικῶν, καὶ ἐν τέλει τὴν ἀπολογίαν αὐτοῦ. Ἔγραψεν ἐπ' ἴσης ἀπόκρισιν καὶ εἰς τὴν παρὰ Θεοδωρήτου κατὰ τῶν δώδεκα κεφαλαίων ἀντίρρησιν. Τῆς ἀποκρίσεως ταύτης προτάσσεται ἡ πρὸς Εὐόπτιον, τὸν ἀποστείλαντα αὐτῷ τὰς ἀντιρρήσεις ταύτας, ἐπιστολή. Ἐν ταῖς ἀποκρίσεσι ταύταις καταδείκνυσιν ὁ σοφὸς ἱεράρχης διὰ τῶν λόγων αὐτῶν τῶν ἀντιπάλων τὴν ἀλήθειαν τῆς ἰδίας διδασκαλίας, καὶ δηλοῖ ὅτι οὗτοι, ἐπικρίνοντες τὰ κεφάλαια αὐτοῦ, ἀπέρριπτον τὰς ἑαυτῶν ἐννοίας, ψευδῶς ἀποδιδομένας αὐτῷ, οἷα π. χ. ἡ πλάνη τῶν Ἀπολλιναριστῶν περὶ κράσεως τῆς σαρκὸς μετὰ τῆς Θεότητος.

§. 30. Αἱ ἐκ τῆς αἱρέσεως τοῦ Νεστορίου προερχόμεναι ταραχαὶ ἐπολλαπλασιάζοντο ὁσημέραι. Πρὸς κατάπαυσιν αὐτῶν οὐδὲν ἄλλο ἐκρίνετο τοσοῦτον ἀναγκαῖον καὶ συντελεστικόν, ὅσον ἡ σύστασις οἰκουμενικῆς συνόδου. Ἐντεῦθεν ὁ αὐτοκράτωρ, παρακληθεὶς ὑπὸ πολλῶν ὀρθοδόξων[1]), ἀπηνῶς ὑπὸ

αἱρέσεις οὐκ οἶδ' ἅστινας καὶ ἀτοπίας ἐν αὐτοῖς ἔδοξε φαντασθῆναι, ἃς οὐδ' ὄναρ ἐπῆλθε ποτὲ τῷ θεσπεσίῳ Ἀνδρὶ ἀναπλάσασθαι· μᾶλλον δὲ ὧν ἀεί ποτε καὶ φρονῶν ὑπῆρχε καὶ διδάσκων ἐκεῖνος τὰ ἀναντιώτατα." Βίος τοῦ μακαρίου Θεοδωρήτου σελ. 35.

1) Ὁ ἀρχιμανδρίτης Βασίλειος, καὶ οἱ μοναχοὶ αὐτοῦ, κακωθέντες, καθάπερ καὶ ἄλλοι πολλοί, ὑπὸ τοῦ Νεστορίου, ἔγραψαν κατ' αὐτοῦ διαμαρτυρίαν τῷ αὐτοκράτορι, ἐν ᾗ, εἰπόντες πόσον ἐπίστανται τὴν ἄνωθεν καὶ ἐξ ἀρχῆς ὑπὸ τῶν Ἀποστόλων, καὶ Μαρτύρων, καὶ Ὁμολογητῶν καὶ Ἐπισκόπων, καὶ Ἁγίων παραδοθεῖσαν τῇ καθολικῇ ἐκκλησίᾳ πίστιν, παρέστησαν ὅσα παρὰ τοῦ παρανόμου πεπόνθασιν οἱ ὀρθόδοξοι, καὶ ἱκέτευσαν μὴ παριδεῖν τὴν ὀρθόδοξον ἐκκλησίαν μοιχευομένην ὑφ' αἱρετικῶν, αὐτοῦ ἄρχοντος, καὶ κελεῦσαι συνελθεῖν οἰκουμενικὴν σύνοδον, ἵνα, ταύτης συστάσης „τὴν ἁγιωτάτην ἐκκλησίαν ὁ Θεὸς ἑνώσῃ, καὶ τὸν λαὸν συνάξῃ, καὶ τοὺς ἱερέας ἀπολαβεῖν ἐν τῷ τῆς ἀληθινῆς πίστεως κηρύγματι ποιήσῃ, πρὸ τοῦ εἰς πλάτος τὴν ἄδικον διδασκαλίαν ἐλθεῖν." Mansi T. IV, col. 1101—1108 et 1111—1116.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*τοῦ Νεστορίου καταδιωκομένων, ἔγνω συγκαλέσαι οἰκουμενικὴν σύνοδον. Αὐτὸ τοῦτο ἐβούλετο καὶ ὁ Νεστόριος, ὅς, γιγνώσκων τὴν πρὸς τὸν ἅγιον Κύριλλον δυσμένειαν τοῦ αὐτοκράτορος, ἡγουμένου αὐτὸν αἴτιον ἁπασῶν τῶν ταραχῶν, καὶ ἐπερειδόμενος τῇ προστασίᾳ πολλῶν μεγάλως ἰσχυόντων, ἤλπιζεν ὅτι αὐτὸς μὲν ἀθωωθήσεται, ὁ δὲ τῆς ἀληθείας πρόμαχος καταδικασθήσεται. Ὁ αὐτοκράτωρ ὁρίσας τόπον τῆς συνόδου τὴν Ἔφεσον, προσεκάλει ἅπαντας τοὺς τῆς αὐτοκρατορίας ἐπισκόπους συνελθεῖν ἐκεῖσε κατὰ τὴν Πεντηκοστὴν τοῦ* 431.[1]) *Ἔγραψε δὲ πρὸς τὸν ἅγιον Κύριλλον δύο ἐπιστολάς, καὶ διὰ μὲν τῆς μιᾶς ἐμέμφετο αὐτῷ ἐπὶ ταῖς ὑπ' αὐτοῦ δῆθεν διαπραχθείσαις ἐν τῇ ἐκκλησίᾳ ταραχαῖς*[2]), *διὰ δὲ τῆς ἑτέρας προσεκάλει αὐτὸν παραγενέσθαι εἰς τὴν σύνοδον.*[3])

§. 31. *Μετὰ τὴν τοῦ Πάσχα ἑορτήν, συμπεσοῦσαν ἐν ἔτει* 431 *τῇ ιθ.' Ἀπριλίου παρεσκευάζοντο οἱ ἐπίσκοποι ἀπελθεῖν εἰς Ἔφεσον. Ὁ ἅγιος Κύριλλος, συνοδευόμενος ὑπὸ πεντήκοντα Αἰγυπτίων ἐπισκόπων, ἀφίκετο ἐκεῖσε τέσσαρας ἢ πέντε ἡμέρας πρὸ τοῦ ὁρισθέντος πρὸς ἔναρξιν τῆς συνόδου χρόνου.*[4]) *Καὶ ἐκ Ῥόδου, ᾗ προσέσχε κατὰ τὸν πλοῦν, καὶ ἐξ*

---

1) *Ἡ περὶ προσκλήσεως οἰκουμενικῆς συνόδου ἐπιστολὴ τοῦ Αὐτοκράτορος ἐγράφη πρὶν ἢ ἀφίκωνται εἰς Κωνσταντινούπολιν οἱ τέσσαρες ἐπίσκοποι, οἷς ἐνετείλατο ὁ ἅγιος Κύριλλος ἐγχειρίσαι τῷ Νεστορίῳ τήν τε ἑαυτοῦ, ἐξ ὀνόματος τῆς συνόδου τῆς Αἰγύπτου, καὶ τὴν τοῦ Πάπα Κελεστίνου ἐπιστολήν. Ἐδόθη δὲ ἡ περὶ συνόδου ποιουμένη λόγον ἐπιστολὴ τῇ ιγ'. πρὸ τῶν Καλανδῶν Δεκεμβρίου, ἤτοι τῇ ιθ' Νοεμβρίου.*

2) *Πόσον ἦν κατὰ τοῦ ἁγίου Κυρίλλου ἠρεθισμένος ὁ Αὐτοκράτωρ δείκνυται ἐκ τῶν ἐν τῇ ἐπιστολῇ ταύτῃ περὶ αὐτοῦ γραφομένων: „. . . πάντα δὲ ἴσθι συγκινήσας, ὡς οὐκ ἐχρῆν. Καὶ θαυμαστὸν οὐδὲν, ἐν τούτοις τὸ μέτρον ἐκβεβηκότα, μὴ μέχρι τῶν ἐκκλησιῶν καὶ τῶν ἱερέων στῆσαι τὴν ἐπιχείρησιν, ἀλλὰ καὶ περὶ ἡμῶν αὐτῶν πιστεῦσαί τι τῆς ἡμετέρας εὐσεβείας ἀνάξιον. Ἢ τίνα εἶχε λόγον, ἕτερα μὲν πρὸς ἡμᾶς καὶ τὴν εὐσεβεστάτην Αὐγούσταν Εὐδοκίαν τὴν ἐμὴν σύμβιον ἐπιστέλλειν; ἕτερα δὲ πρὸς τὴν ἐμὴν ἀδελφὴν τὴν εὐσεβεστάταν Αὐγούσταν Πουλχερίαν, εἰ μὴ διχονοεῖν ἡμᾶς ᾠήθης, ἢ διχονοήσειν ἤλπισας ἐκ τῶν τῆς σῆς Θεοσεβείας γραμμάτων; τοῦτο δὲ καὶ γεγονός, εἴπερ οὕτως εἶχεν, ἐκ περιεργίας εἰδέναι τὸν οὕτω πόρρωθεν ὄντα, παντελῶς ἐστιν ἐπίψογον, καὶ μὴ γεγονὸς ποιῆσαι βούλεσθαι, παντὸς μᾶλλον, ἢ ἱερέως . . .“*

3) *Ἡ περὶ προσκλήσεως συνόδου ἐπιστολὴ ἔχει τὴν ἐπιγραφήν: „Θεῖον γράμμα ἀποσταλὲν ἐν Ἀλεξανδρείᾳ Κυρίλλῳ ἐπισκόπῳ, καὶ τοῖς κατὰ χώραν τῶν μητροπολιτῶν ἐπισκόποις.“ Αἱ ἐπιστολαὶ τοῦ αὐτοκράτορος κατεχωρίσθησαν ἐν τοῖς πρακτ. τῆς ἐν Ἐφ. Συν.* P. I, c. 31—32. Mansi T. IV, coll. 1001—1116.

4) *Ὁ Νεστόριος ἀφίκετο εἰς Ἔφεσον εὐθὺς μετὰ τὴν τοῦ Πάσχα*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐφέσου ἐπέστειλεν ἅμ' ἐκεῖσε ἀφικόμενος τῷ ἀγαπητῷ αὐτοῦ ποιμνίῳ, παρακαλῶν τόν τε κλῆρον καὶ τὸν λαὸν δεῖξαι κατὰ τὸν χρόνον τοῦτον, ὡς καρπὸν ἀγάπης τὰς ὑπὲρ αὐτοῦ προσευχάς, ἵνα καὶ πάλιν ὁ πάντας συντρίβων πολέμους Θεός, ὁ τῶν δυνάμεων Κύριος, καταστήσας τὰ μεταξύ, καὶ πάντα ῥαΐσας πόλεμον, χαίροντας ἡμᾶς χαίρουσιν ὡς τέκνοις ἀποδῷ," καὶ τὴν πεποίθησιν ἐκφέρων, ὅτι „Χριστὸς ὁ πάντων Σωτήρ, καθαρὰς ἀποφανεῖ διεστραμμένων ἐννοιῶν τὰς ἑαυτοῦ ἐκκλησίας, καὶ τὴν ὀρθὴν πίστιν ἀποκαταστήσει φαεινοτάτην.[1]) Κατὰ τὸν μέχρι τῆς ἀφίξεως τῶν λοιπῶν ἐπισκόπων παρερχόμενον χρόνου ἠσχολεῖτο ὁ ἱερὸς Κύριλλος περὶ τὸ ἐκλέγειν τὰ ἐν τοῖς συγγράμμασι τοῦ Νεστορίου χωρία ἐκεῖνα ἐν οἷς κατεφαίνετο ἡ ἀσέβεια αὐτοῦ, προετοιμάζων οὕτω τὴν ἀνασκευὴν αὐτῶν.

§. 32. Λίαν σπουδαῖον εἰς ἔναρξιν τῶν τῆς συνόδου ἐργασιῶν πρόσκομμα ἦν ἡ ἀπουσία Ἰωάννου τοῦ Ἀντιοχείας καὶ τῶν λοιπῶν τῆς Ἀνατολῆς ἐπισκόπων. Ἀπέχων ὁ Ἰωάννης πέντε ἢ ἓξ ἡμέρας τῆς Ἐφέσου, ἔγραψε τῷ ἁγίῳ Κυρίλλῳ ἐπιστολὴν πλήρη σεβασμοῦ, ἔχουσαν ὧδε: „οὐδὲ ἐμὲ μετρίως δάκνει, τὸ ὅλως τῆς ὑμετέρας ὁσιότητος εἰς Ἔφεσον παραγενομένης, τὰς μικρὰς ταύτας ὑστερῆσαι ἡμέρας. Τῆς γὰρ χρείας ὁ περὶ τὴν

---

ἑορτὴν, ἅτε δὴ οὐ πόῤῥω τῆς Ἐφεσίων ἀφεστηκὼς, συνοδευόμενος ὑπὸ τοῦ κόμητος Εἰρηναίου, ἐξ εὐνοίας ἀκολουθήσαντος αὐτῷ, καὶ ὑπὸ τοῦ κόμητος Κανδιδιανοῦ, ἀρχηγοῦ τῆς αὐτοκρατορικῆς φρουρᾶς. Ἰουβενάλιος ὁ Ἱεροσολύμων ἀφίκετο τῇ πέμπτῃ μετὰ τὴν Πεντηκοστὴν ἡμέραν ὁμοῦ μετὰ τῶν ἐπισκόπων τῆς Παλαιστίνης. Μέμνων ὁ Ἐφέσου προσεκάλεσεν αὐτόσε περὶ τοὺς τεσσαράκοντα ἐπισκόπους τῆς Ἀσίας. Παρεγένοντο ὡσαύτως ἐπίσκοποι ἐκ τοῦ Πόντου καὶ τῆς Καππαδοκίας, καὶ ἐκ τῆς νήσου Κύπρου. Ῥοῦφος ὁ Θεσσαλονίκης, νοσῶν, ἀπέστειλεν ἀντ' αὐτοῦ Φλαβιανὸν τῶν Φιλίππων. Περιγένης ὁ Κορίνθου ἀπῆλθεν ἐκεῖσε μετὰ πολλῶν τῶν ὑφ' ἑαυτὸν ἐπισκόπων. Ἰωάννης ὁ Ἀτιοχείας καὶ οἱ λοιποὶ τῆς Ἀνατολῆς ἐπίσκοποι οὐκ ἀφίκοντο εἰς Ἔφεσον ἐν καιρῷ, λέγοντες, ὅτι ἦν αὐτοῖς τοῦτο ἀδύνατον διὰ τὸ μῆκος τῆς ὁδοῦ. Κελεστῖνος δὲ ὁ Ῥώμης, διὰ τοὺς κατὰ θάλατταν κινδύνους, παρῃτεῖτο δι' ἑαυτοῦ τῇ συνόδῳ παραβαλεῖν· ἀπέστειλε δὲ τοποτηρητὰς αὐτοῦ Ἀρμάδιον καὶ Προϊέκτον ἐπισκόπους, καὶ Φίλιππον ἱερέα τῆς ῥωμαϊκῆς ἐκκλησίας, τῆς ἐπιλεγομένης τῶν ἁγίων Ἀποστόλων, ἐντειλάμενος αὐτοῖς συμφωνεῖν κατὰ πάντα τῷ ἁγίῳ Κυρίλλῳ. Καὶ οὗτοι δὲ, ὡς καὶ οἱ τῆς Σικελίας ἐπίσκοποι, οὐκ ἀφίκοντο εἰς Ἔφεσον ἐν καιρῷ. Οἱ ἐν τῇ συνόδῳ ταύτῃ παραγενόμενοι ἦσαν διακόσιοι περίπου, ὧν οἱ ἡμίσεις μητροπολῖται· ἄνδρες σοφοί, ῥαδίως καὶ ἐμβριθῶς δυνάμενοι συζητεῖν περὶ τῶν τῆς πίστεως δογμάτων, ὡς λέγει Οὐϊγκέντιος ὁ Λιριναῖος (in Common. c. XLII p. 377).

1) ἐπ. κ., κα'.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σὴν ἁγιωσύνην πόθος πλέον μοι ἔγκειται συντόνως τὴν ὁδὸν ἐξανύσαι. Εἰμὶ γοῦν ἐπὶ θύραις λοιπόν, τῆς σῆς ἁγιότητος εὐχαῖς, πολὺν ὑποστὰς τὸν τῆς ὁδοιπορίας πόνον. Ἡμέρας γὰρ ἔχω τριάκοντα (τοσοῦτος γὰρ ὁ κύκλος τῆς ὁδοῦ ἔχει) ὁδεύων, οὐδαμῶς οὐδ' ὅλως ἐνδιδοὺς ἑαυτῷ, ἐνίων τῶν κυρίων τῶν θεοφιλεστάτων ἐπισκόπων, ἀνωμαλίᾳ κατὰ τὴν ὁδὸν χρησαμένων, ζώων δὲ πολλῶν πεπτωκότων ἀπὸ τῆς συντόνου ὁδοιπορίας. Εὔχου οὖν, δέσποτα, καὶ ταύτας τὰς πέντε ἢ ἓξ μονάς, ἀλύπως ἡμᾶς ὁδεῦσαι, καὶ ἀλύπως περιπτύξασθαι τὴν ἱερὰν ἡμῖν καὶ ὁσίαν κεφαλήν ....“ 1) Γογγυζόντων ἁπάντων τῶν ἐπισκόπων τῆς συνόδου ἐπὶ τῇ βραδυτῆτι τῆς τοῦ Ἰωάννου καὶ τῶν περὶ αὐτὸν ἀφίξεως, Ἀλέξανδρος ὁ Ἀπαμείας καὶ Ἀλέξανδρος ὁ Ἱραπόλεως, μόνοι αὐτοὶ ἐκ τῶν Ἀνατολικῶν παρόντες, εἶπον: „ἐνετείλατο ἡμῖν ὁ κύριος Ἰωάννης ὁ ἐπίσκοπος εἰπεῖν τῇ Θεοσεβείᾳ ὑμῶν, ὅτι ἐὰν βραδύνω πράττετε, ὃ πράττετε.“ 2) Διακόσιοι καὶ ἐπέκεινα ἐπίσκοποι συνεβούλευον τῷ ἁγίῳ Κυρίλλῳ, ᾧ παρεχώρησε τὴν θέσιν αὐτοῦ καὶ ὁ ἅγιος Κελεστῖνος 3), συγκροτῆσαι τὴν ἀκρόασιν. Ἐντεῦθεν ὁ θεσπέσιος Πατὴρ ἔγνω παραδέξασθαι τὴν συμβουλὴν αὐτῶν. 4)

1) Ἡ ἐπιστολὴ αὕτη τοῦ Ἰωάννου πρὸς τὸν ἅγιον Κύριλλον, οὖσα ἐν ταῖς τοῦ Κυρίλλου ἐπιστ. κβ'., εὕρηται καὶ ἐν τοῖς Πρ. τῆς ἐν Ἐφ. Συν. Mansi T. IV, col. 1121—22. Πρβλ. Tillemont Art. LII p. 389—90, καὶ S. Garner in Opp. Marii Mercat. P. II, p. XXIII—XXIV.

2) Ἐπ. τοῦ ἁγ. Κυρίλλου κγ'.

3) Ὁ ἅγιος Κελεστῖνος γράφει ἐν τῇ πρὸς τὸν κλῆρον καὶ τὸν λαὸν τῆς Κωνσταντινουπόλεως ἐπιστολῇ αὐτοῦ: „Καὶ ἐπειδὴ ἐν τηλικούτῳ πράγματι ἡ ἡμετέρα σχεδὸν παρουσία ἀναγκαία ἐφαίνετο, τὴν ἡμετέραν διαδοχὴν, διὰ τὰ κατὰ θάλατταν καὶ γῆν διαστήματα, αὐτῷ τῷ ἁγίῳ ἀδελφῷ μου Κυρίλλῳ ἀπενείμαμεν.“ „Κελεστῖνος δὲ ὁ τῆς Ῥώμης ἐπίσκοπος (λέγει Νικηφόρος ὁ Κάλλιστος), διὰ τὰ κατὰ θάλατταν προσδοκώμενα, παρῃτεῖτο δι' ἑαυτοῦ τῇ συνόδῳ παραβαλεῖν. Ἔγραφε δὲ Κυρίλλῳ, προτρέπων καὶ τὸν ἐκείνου τόπον ἐπέχειν· ἐξ οὗ λόγος καὶ τὸ τῆς μίτρας ἐπίθεμα εἰληφέναι, καὶ τὴν τοῦ Πάπα προσηγορίαν λαβεῖν, καὶ τῆς οἰκουμένης κριτὴν ὀνομάζεσθαι“ (ἐκκλ. ἱστορ. ιδ, 34).

4) Οἱ τῆς ἁγίας Συνόδου Πατέρες ἔγραψαν τῷ αὐτοκράτορι ἐν τῇ περὶ καθαιρέσεως τοῦ Νεστορίου ἀναφορᾷ „ ... καὶ δὴ πάντων ἡμῶν συνειλεγμένων ἐν τῇ Ἐφεσίων μητροπόλει κατὰ τὴν ὁρισθεῖσαν ἡμῖν προθεσμίαν, βραδῦναι συνέβη τὸν ἁγιώτατον Ἰωάννην τὸν Ἀντιοχείας ἐπίσκοπον. Ἀλλ' ὑπολαβόντες ἡμεῖς τῆς ὁδοῦ τὴν δυσχέρειαν αἰτίαν γεγονέναι τῆς βραδύτητος, ἀνεβαλόμεθα τὴν ἀκρόασιν ἐπὶ χρόνον δέκα ἡμερῶν καὶ ἓξ ἀπὸ τῆς ὡρισμένης προθεσμίας παρὰ τοῦ ὑμετέρου κράτους· καὶ οἱ μὲν τῶν ἁγίων ἐπισκόπων ὑπὸ γήρως πιεζόμενοι, τὴν ἐπὶ ξένης διατριβὴν οὐκ ἔφερον· οἱ δὲ ἐν ἀρρωστίᾳ ἐκινδύνευον· τινὲς δὲ καὶ τὸ τέλος

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

§. 33. *Ἡ ἁγία καὶ οἰκουμενικὴ Σύνοδος τῆς Ἐφέσου ἤρξατο τῶν ἐργασιῶν αὐτῆς τῇ κβ' Ἰουνίου τοῦ* 431 *ἐν τῇ ἁγίᾳ καὶ μεγάλῃ ἐκκλησίᾳ, τῇ καλουμένῃ Μαρίᾳ. Οἱ παραγενόμενοι ἐπίσκοποι μετὰ τοῦ ἀντιπροσώπου τῶν ἐπισκόπων τῆς Ἀφρικῆς Βεσούλα, διακόνου τῆς Καρχηδόνος, ἀνῆλθον εἰς ἑκατὸν ἐνενήκοντα καὶ ὀκτώ.*[1]) *Ἐν τῷ μεσαιτάτῳ θρόνῳ προὔκειτο τὸ ἅγιον Εὐαγγέλιον, αὐτὸν παρόντα τὸν Χριστὸν αὐτοῖς δεικνύς. Τὴν πρώτην θέσιν κατέλαβεν ὁ ἅγιος Κύριλλος, μεθ' ὃν ἐκαθέσθησαν Ἰουβενάλιος ὁ Ἱεροσολύμων, Μέμνων ὁ Ἐφέσου, Φλαβιανὸς ὁ Φιλίππων, Θεόδοτος ὁ Ἀγκύρας, Φίρμος ὁ Καισαρείας, Ἀκάκιος ὁ Μελιτηνῆς, Ἰκόνιος ὁ Γορτύνης τῆς Κρήτης, Περιγένης ὁ Κορίνθου, ἅπαντες μητροπολῖται καὶ ἐπίσκοποι.*[2]) *Καθεσθέντων ἁπάντων τῶν ἐπισκόπων,*

---

*ὑπεξῆλθον τοῦ βίου ἐν τῇ Ἐφεσίων μητροπόλει· ἄλλοι δὲ πενίᾳ σφιγγόμενοι, προσιόντες ἡμῖν, κατήπειγον τὴν ἀκρόασιν . . .“ πρβλ. Κυρίλλ. ἐπ. κγ'. καὶ* Tillemont Art. LII p. 389—390.

1) *Ἐπίσκοπος τῆς Καρχηδόνος ἦν τότε ὁ Καμπραίωλος. Οὗτος ἐπεθύμει συγκαλέσαι τοὺς ἐπισκόπους τῆς ἐπαρχίας ταύτης καὶ ἀποστεῖλαι εἰς Ἔφεσον, ἀλλ' ἐπειδὴ ὁ ἀπὸ τῆς λήψεως τῆς ἐπιστολῆς μέχρι τῆς ἐνάρξεως τῆς συνόδου χρόνος ἦν πάνυ βραχύς, οὐκ ἠδυνήθη. Ἐντεῦθεν ἀπέστειλε μόνον τὸν Βεσούλαν μετ' ἐπιστολῆς, ἐν ᾗ ἀνομολογεῖ τὴν ἀνάγκην τοῦ τὰς καινὰς διδασκαλίας, καὶ πρὸ τούτου, ταῖς ἐκκλησιαστικαῖς ἀκοαῖς ἀπείρους, τῆς ἀρχαίας αὐθεντίας τῇ δυνάμει ἀπώσασθαι, καὶ παρακαλεῖ τὴν ἁγίαν Σύνοδον μηδεμίαν προσοχὴν δοῦναι τῇ αἰτήσει τῶν Πελαγιανῶν πρὸς νέαν ἐξέτασιν τῆς διδασκαλίας αὐτῶν. Ἡ ἐπιστολὴ αὕτη κατεχωρίσθη ἐν τοῖς πρακτ. τῆς Συνόδου. Ὁ Καμπραίωλος ἔγραψε καὶ πρὸς τὸν αὐτοκράτορα περὶ τῆς αὐτῆς ὑποθέσεως, καὶ περὶ τοῦ θανάτου τοῦ μακαρίου Αὐγουστίνου, ἐκδημήσαντος πρὸς Κύριον μῆνάς τινας πρὸ τῆς εἰς Ἀφρικὴν ἀφίξεως τῆς περὶ προσκλήσεως συνόδου ἐπιστολῆς.*

2) *Ὁ Νεστόριος καὶ οἱ ὀπαδοὶ αὐτοῦ ἐσπούδασαν κωλῦσαι τὴν ἔναρξιν τῆς συνόδου. Τῇ προτεραίᾳ τῆς ἐνάρξεως ἀπέστειλαν τῷ ἁγίῳ Κυρίλλῳ καὶ τῷ Ἰουβεναλίῳ διαμαρτυρίαν, ὑπὸ* 68 *ἐπισκόπων ὑπογεγραμμένην, ἐν ᾗ ἐδήλουν, ὅτι ἔδει περιμένειν τὴν ἄφιξιν τοῦ Ἀντιοχείας Ἰωάννου. Καὶ ὁ Κανδιδιανός, ᾧ ἐνετείλατο ὁ αὐτοκράτωρ ἐπιτηρεῖν τὴν ἐξωτερικὴν τάξιν ἐν τῇ Συνόδῳ, παρήγγειλε τοῖς ἐπισκόποις μὴ συγκροτῆσαι τὴν ἀκρόασιν πρὸ τῆς ἀφίξεως τῶν τῆς Ἀνατολῆς ἐπισκόπων, λέγων, ὅτι, κατὰ τὴν ἐντολὴν τοῦ αὐτοκράτορος, αἱ ἀποφάσεις τῆς συνόδου ὤφειλον γενέσθαι κοινῇ συγκαταθέσει. Παρεκάλεσε τοὺς ἐπισκόπους μὴ ἀντιστῆναι ἐντολῇ τοσοῦτον δικαίᾳ καὶ ἐλλόγῳ, καὶ ᾐτήσατο περιμεῖναι τοὐλάχιστον τέσσαρας ἡμέρας ἐπὶ τῇ ἐλπίδι τῆς τῶν λοιπῶν ἐπισκόπων ἀφίξεως. Τῆς παρακλήσεως ταύτης οὐ γενομένης δεκτῆς, ἐγένετο περιοργὴς ὁ Κανδιδιανὸς καὶ ἔγραψε διαμαρτυρίαν, ἣν ἀπέστειλε τῷ ἁγ. Κυρίλλῳ καὶ τοῖς λοιποῖς ἐπισκόποις· ἀντίγραφον δὲ ταύτης ἔπεμψε καὶ τῷ αὐτοκράτορι. — Τρὶς προσεκλήθη ὁ Νεστόριος προσελθεῖν εἰς τὴν σύνοδον, ἀλλ' οὐκ ἠβουλήθη ὑπακοῦσαι. Ἰδού, τί λέγει περὶ τούτου ἡ*



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Πέτρος πρεσβύτερος Ἀλεξανδρείας καὶ πριμμικήριος Νοταρίων, εἶπεν: „ἔτι πρότερον τοῦ εὐλαβεστάτου Νεστορίου χειροτονηθέντος ἐπισκόπου τῇ ἁγίᾳ Κωνσταντινουπολιτῶν ἐκκλησίᾳ, καί τινων οὐ πολλῶν διαδραμουσῶν ἡμερῶν, παρηνέχθησαν ἀπὸ τῆς Κωνσταντινουπόλεως παρά τινων ἐξηγήσεις αὐτοῦ, ἐκταράττουσαι τοὺς ἀναγινώσκοντας, ὡς πολὺν ἐκ τούτου ταῖς ἁγίαις ἐκκλησίαις γενέσθαι τὸν θόρυβον. Τοῦτο μαθὼν ὁ εὐσεβέστατος καὶ θεοσεβέστατος Ἀλεξανδρείας ἐπίσκοπος Κύριλλος ἔγραψε πρώτην καὶ δευτέραν ἐπιστολὴν πρὸς τὴν εὐλάβειαν αὐτοῦ, συμβουλῆς καὶ παραινέσεως γεμούσας. Πρὸς ταύτας ἀντέγραψεν ἀνανεύων καὶ ἐναντιούμενος τοῖς ἀπεσταλμένοις. Καὶ πρὸς τούτοις ἔτι μαθὼν ὁ αὐτὸς εὐλαβέστατος ἐπίσκοπος Κύριλλος, ὅτι καὶ εἰς τὴν Ῥώμην ἀπεστάλησαν παρ' αὐτοῦ ἐπιστολαί, καὶ βιβλία τῶν ἐξηγήσεων αὐτοῦ, ἔγραψε καὶ αὐτὸς πρὸς τὸν θεοσεβέστατον ἐπίσκοπον τῆς Ῥώμης Κελεστῖνον διὰ Ποσειδωνίου τοῦ διακόνου, ἐντειλάμενος αὐτῷ ὅτιπερ, εἰ εὑρεθείη ἀποδοθέντα αὐτῷ τὰ βιβλία τῶν ἐξηγήσεων αὐτοῦ, καὶ αἱ ἐπιστολαί, ἀπόδος καὶ τὰ παρ' ἐμοῦ γράμματα, εἰ δὲ μὴ ἄγαγε αὐτὰ ἐνταῦθα μὴ ἀποδοθέντα. Οὗτος εὑρὼν τὰς ἐξηγήσεις καὶ τὰς ἐπιστολὰς αὐτοῦ ἀποδοθείσας, ἀναγκαίως καὶ αὐτὸς ἀπέδωκε. Καὶ γέγραπται τὰ εἰκότα παρὰ τοῦ ὁσιω-*

---

ἁγ. Σύνοδος ἐν τῇ ἀναφορᾷ αὐτῆς πρὸς τὸν αὐτοκράτορα περὶ τῆς καθαιρέσεως τοῦ αἱρετικοῦ τούτου: „. . . παρακαλεσάντων δι' εὐλαβεστάτων ἐπισκόπων τὸν θαυμαστὸν Νεστόριον συνεδρεῦσαί τε ἡμῖν καὶ κοινωνῆσαι τῆς περὶ τῆς εὐσεβείας τε καὶ πίστεως ζητήσεως, οὐδεμιᾶς παρ' αὐτοῦ τετυχήκαμεν ἀποκρίσεως δηλώσαντος τοῦτο μόνον διὰ τῶν ἀπεσταλμένων, 'ὅτι περ σκέπτομαι, καὶ ἐὰν δοκιμάσω, ἀπαντῶ' . . . καὶ αὖθις ἀπεστείλαμεν πρὸς αὐτὸν τρεῖς ἑτέρους ἁγιωτάτους ἐπισκόπους, παρακαλοῦντες ἀπαντῆσαι εἰς τὴν ἁγίαν σύνοδον, καὶ τῆς διδασκαλίας αὐτοῦ τὴν ἀπολογίαν ποιήσασθαι· ὁ δὲ . . . οὐδὲ ἀποκρίσεως τοὺς ἀποσταλέντας ἠξίωσε. Τῶν δὲ κανόνων παρακελευομένων τῇ τρίτῃ κλήσει παρακαλεῖσθαι τὸν ἀπειθοῦντα, ἀποστείλαντες πρὸς αὐτὸν αὖθις ἑτέρους ἐπισκόπους, ἀπειθοῦντα εὕρομεν καὶ ἀποπέμποντα τοὺς ἀπεσταλμένους μετὰ πολλῆς αἰσχύνης καὶ ὕβρεως διὰ τῶν πρὸ τῆς οἰκίας αὐτοῦ ἑστώτων στρατιωτῶν" (ἴδ. καὶ Κυρίλλ. ἐπ. κγ'). Πρὸ τῆς ἐνάρξεως τῆς συνόδου ἐσπούδασεν Ἀκάκιος ὁ Μελιτηνῆς πεῖσαι τὸν Νεστόριον καταλιπεῖν τὴν πλάνην αὐτοῦ, καὶ ἐκεῖνος τὸ μὲν πρῶτον ἐφάνη πεισθεὶς τοῖς λόγοις τοῦ Ἀκακίου, ἔπειτα δέ, μετὰ δέκα ἢ δώδεκα ἡμέρας, ἐξήμεσε τὸν ἰὸν τῆς ἀσεβείας αὐτοῦ. Τῇ αὐτῇ ἡμέρᾳ εἶπε, παρόντος Θεοδώρου τοῦ Ἀγκύρας καὶ πολλῶν ἄλλων ἐπισκόπων: „ἐγὼ τὸν γενόμενον διμηνιαῖον καὶ τριμηνιαῖον οὐκ ἂν Θεὸν ὀνομάσαιμι" (Σωκρ. ζ, 34). Ἴδε Act. Concil. T. IV, coll. 1181—1182. Πρβλ. Tillemont Art. L p. 385—386.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τάτου ἐπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας Κελεστίνου, τύπον φανερὸν περιέχοντα. Ἐπεὶ οὖν ἐκ βασιλικοῦ καὶ θεοφιλοῦς νεύματος ἡ ἁγία ἡμῶν συγκεκρότηται σύνοδος ἐνταῦθα, ἀναδιδάσκομεν ἀναγκαίως ὅτι δὴ τοὺς ἐπὶ τούτοις χάρτας μετὰ χεῖρας ἔχομεν πρὸς τὸ παριστάμενον τῇ ὑμῶν θεοσεβείᾳ." [1])

§. 34. Μετὰ τὸν γενόμενον ὑπὸ τινῶν ἐπισκόπων λόγον περὶ τῆς ἐναντιώσεως τοῦ ἐπιμόνως ἀρνουμένου προσελθεῖν εἰς τὴν σύνοδον Νεστορίου, ἀνεγνώσθη ἐν πρώτοις ἡ παρὰ τῶν συνελθόντων εἰς Νίκαιαν ἁγιωτάτων πατέρων καὶ ἐπισκόπων ὁμολογηθεῖσα πίστις, ὡς ὁ ἀληθὴς τῆς πίστεως κανών, καὶ ἔπειτα ἡ πρὸς τὸν Νεστόριον δευτέρα τοῦ ἁγίου Κυρίλλου ἐπιστολή, ἣν ὁ Ἰουβενάλιος, Φίρμος ὁ Καισαρείας, Μέμνων ὁ Ἐφέσου, Θεόδοτος ὁ Ἀγκύρας, Φλαβιανὸς ὁ Φιλίππων, καὶ ἑκατὸν εἴκοσιν ἑπτὰ ἕτεροι ἐκ τῶν πρώτων τῆς Συνόδου ἐπισκόπων, ἕκαστός τε ἰδίᾳ ἐνέκρινον, καὶ ὁμοῦ πάντες ὑπερεπήνεσαν. Ἔπειτα ἀνεγνώσθη ἡ εἰς τὴν ἐπιστολὴν ταύτην τοῦ Νεστορίου ἀπόκρισις, περὶ ἧς τινὲς μὲν τῶν πατέρων ἀπεφήναντο ἰδίᾳ τε καὶ ὁμοθυμαδὸν ὅτι ἔδει κατακρῖναι καὶ ἀπορρίψαι αὐτήν, οἱ δὲ πλείους ὅτι ἔδει ἀναθεματίσαι αὐτήν τε καὶ τὸν αὐτῆς συγγραφέα. Μετ' αὐτοὺς δὲ ἀνέκραξαν καὶ οἱ λοιποί: „ὁ μὴ ἀναθεματίζων Νεστόριον ἀνάθεμα ἔστω." „Τοῦτον ἡ ὀρθόδοξος πίστις ἀναθεματίζει". „Τοῦτον ἡ ἁγία σύνοδος ἀναθεματίζει." „ὁ κοινωνῶν Νεστορίῳ ἀνάθεμα ἔστω". „Καὶ πάντες ἀναθεματίζομεν τὴν ἐπιστολὴν καὶ τὰ δόγματα Νεστορίου." „Τὸν αἱρετικὸν Νεστόριον πάντες ἀναθεματίζομεν." „Τοὺς κοινωνοῦντας Νεστορίῳ πάντες ἀναθεματίζομεν." Τὴν ἀσεβῆ πίστιν τοῦ Νεστορίου ἀναθεματίζομεν". „Τὸ ἀσεβὲς δόγμα τοῦ Νεστορίου πάντες ἀναθεματίζομεν." „Τὸν ἀσεβῆ Νεστόριον πάντες ἀναθεματίζομεν." „Ὅλη ἡ οἰκουμένη ἀναθεματίζει τὴν ἀσεβῆ θρησκείαν αὐτοῦ." „Ὁ τοῦτον μὴ ἀναθεματίζων ἀνάθεμα ἔστω." „Τοῦτον ἡ ὀρθὴ πίστις ἀναθεματίζει." „Τοῦτον ἡ ἁγία σύνοδος ἀναθεματίζει." „Ὁ κοινωνῶν Νεστορίῳ ἀνάθεμα ἔστω. [2])

§. 35. Μετὰ τὸν ἀναθεματισμὸν ἀνεγνώσθη ἡ τοῦ ἁγίου Κελεστίνου πρὸς τὸν Κύριλλον ἐπιστολή, ὡς καὶ ἡ τοῦ ἁγίου Κυρίλλου πρὸς τὸν Νεστόριον, ἐν ᾗ τὰ πολυθρύλητα δώδεκα τῶν

1) Apud Mansi T. IV, coll. 1128—1129.
2) Apud Mansi T. IV, coll. 1177.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*ἀναθεματισμῶν κεφάλαια συμπαρεξεύχθησαν. Πρὶν ἢ ἐξενεχθῇ κατὰ τοῦ Νεστορίου ὁριστικωτέρα καταδίκη, ἡ Σύνοδος, κατὰ πρότασιν Φλαβιανοῦ τοῦ Φιλίππων, προςέταξεν ἀναγνωσθῆναι κεφάλαιά τινα ἐκ τῶν συγγραμμάτων τῶν ἁγίων Πατέρων, ὅπως γένηται κατάδηλος ἡ περὶ τῶν προκειμένων δόξα αὐτῶν. Ἀνεγνώσθησαν τοίνυν κεφάλαιά τινα Πέτρου τοῦ Ἀλεξανδρείας, Ἀθανασίου τοῦ Μεγάλου, Ἰουλίου τοῦ Ῥώμης, Φήλικος τοῦ Ῥώμης, Θεοφίλου τοῦ Ἀλεξανδρείας, Κυπριανοῦ τοῦ Καρχηδόνος, Ἀμβροσίου τοῦ Μεδιολάνων, Γρηγορίου τοῦ Ναζιανζοῦ, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Νύσσης, Ἀττικοῦ τοῦ Κωνσταντινουπόλεως, καὶ Ἀμφιλοχίου τοῦ Ἰκονίου. Ὅπως δὲ γένηται καταφανεστέρα τοῦ Νεστορίου ἡ πλάνη, ἀνεγνώσθησαν τεμάχιά τινα ἐκ τῶν συγγραμμάτων αὐτοῦ. Τέλος ἀνέγνω Πέτρος ὁ πρεσβύτερος Ἀλεξανδρείας τὴν τοῦ Καμπραιόλου ἐπιστολὴν, ἣν οἱ Πατέρες ἐνέκριναν ἅπαντες, ἀναφωνήσαντες μετὰ τὴν ἀνάγνωσιν αὐτῆς: „Αὗται πάντων αἱ φωναί, ταῦτα πάντες λέγομεν, αὕτη πάντων ἡ εὐχή.“*

§. 36. *Τούτων λεχθέντων ἐξηνέχθη ἡ κατὰ Νεστορίου διαγνώμη ἔχουσα ὧδε: „ἡ ἁγία σύνοδος εἶπε, πρὸς τοῖς ἄλλοις μήτε ὑπακοῦσαι βουληθέντος τοῦ ἀσεβεστάτου Νεστορίου τῇ παρ' ἡμῶν κλήσει, μήτε μὴν τοὺς παρ' ἡμῶν ἀποσταλέντας ἁγιωτάτους καὶ θεοσεβεστάτους ἐπισκόπους δεξαμένου, ἀναγκαίως ἐχωρήσαμεν ἐπὶ τὴν ἐξέτασιν τῶν δυςσεβηθέντων αὐτῷ, καὶ φωράσαντες αὐτὸν ἔκ τε τῶν ἐπιστολῶν καὶ ἐκ τῶν συγγραμμάτων αὐτοῦ καὶ ἐκ τῶν ἀρτίως παρ' αὐτοῦ ῥηθέντων κατὰ τήνδε τὴν μητρόπολιν, καὶ προςμαρτυρηθέντων, δυςσεβῶς φρονοῦντα καὶ κηρύττοντα, ἀναγκαίως κατεπειχθέντες ἀπό τε τῶν κανόνων, καὶ ἐκ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ συλλειτουργοῦ Κελεστίνου τοῦ ἐπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας, δακρύσαντες πολλάκις, ἐπὶ τὴν σκυθρωπὴν κατ' αὐτοῦ ἐχωρήσαμεν ἀπόφασιν. Ὁ βλασφημηθεὶς τοίνυν παρ' αὐτοῦ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὥρισε διὰ τῆς παρούσης ἁγιωτάτης συνόδου ἀλλότριον εἶναι τὸν αὐτὸν Νεστόριον τοῦ ἐπισκοπικοῦ ἀξιώματος καὶ παντὸς συλλόγου ἱερατικοῦ.“ Τῇ δὲ ἐπαύριον ἀπεστάλη τῷ Νεστορίῳ ἡ καθαίρεσις αὐτοῦ, ἔχουσα ὧδε: „Γίνωσκε σεαυτὸν διὰ τὰ δυσσεβῆ σου κηρύγματα καὶ τὴν πρὸς τοὺς κανόνας ἀπείθειαν, κατὰ τὰ δοκοῦντα τοῖς ἐκκλησιαστικοῖς θεσμοῖς, Ἰουνίου μηνὸς τοῦ ἐνεστῶτος δευτέρᾳ*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*καὶ εἰκάδι, παρὰ τῆς ἁγίας συνόδου καθῃρῆσθαι, καὶ παντὸς ἐκκλησιαστικοῦ βαθμοῦ ὑπάρχειν ἀλλότριον.“* [1])

§. 37. *Τῇ αὐτῇ ἡμέρᾳ ἐπέστειλεν ἡ ἁγία Σύνοδος τῷ Εὐχαρίῳ, τοῖς οἰκονόμοις, καὶ τοῖς λοιποῖς κληρικοῖς τῆς Κωνσταντινουπόλεως, ἀγγέλλουσα αὐτοῖς τὴν τοῦ Νεστορίου καθαίρεσιν, καὶ ἐντελλομένη αὐτοῖς φυλάξειν τὰ ἐκκλησιαστικὰ σύμπαντα, ὡς μέλλουσι „καὶ λόγον ἀποδοῦναι τῷ κατὰ βούλησιν Θεοῦ καὶ νεύματι τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων χειροτονηθησομένῳ τῇ Κωνσταντινουπολιτῶν ἐκκλησίᾳ.“ Κατὰ τὸν αὐτὸν χρόνον ἔγραψεν ὁ ἅγιος Κύριλλος τοῖς ἐπισκόποις Κομαρίῳ καὶ Ποτάμωνι, τῷ ἐπὶ ἁγιότητι βίου καὶ εὐσεβείᾳ περιωνύμῳ ἁγίῳ Δαλματίῳ, ἀρχιμανδρίτῃ τῶν μοναστηρίων, καὶ Τιμοθέῳ καὶ Εὐλογίῳ πρεσβυτέροις, ἀγγέλλων αὐτοῖς τὰ κατὰ τὴν Σύνοδον. Σύναμα δὲ ἔγραψε δύο ἐπιστολὰς πρὸς τὸν κλῆρον καὶ τὸν λαὸν τῆς Ἀλεξανδρείας* [2]).

§. 38. *Μαθὼν ὁ κόμης Κανδιδιανὸς τὴν τοῦ Νεστορίου καθαίρεσιν ἔγραψε τῇ Συνόδῳ μηδὲν ἐπιχειρεῖν παρὰ τὰς διατάξεις τοῦ αὐτοκράτορος, καὶ ἐδήλωσε τὴν δυσαρέστησιν αὐτοῦ ἐπὶ τοῖς γενομένοις παρὰ τὰς πρώτας αὐτοῦ ἀπαγορεύσεις, καὶ σύναμα ὅτι ἐν οὐδενὶ τίθεται τὰ ὑπ᾽ αὐτῆς πεπραγμένα. Ἔγραψε δὲ καὶ τῷ αὐτοκράτορι ψευδῆ περὶ τῶν πράξεων τῆς Συνόδου καταγγελίαν. Ὁ δὲ Νεστόριος, μετὰ δέκα ἐπισκόπων ὁμοφρόνων αὐτῷ, ἔγραψε περὶ τῶν ὑπὸ τῆς ἁγίας Συνόδου πεπραγμένων ἐπιστολὴν, ἐν ᾗ πικρῶς καθάπτεται τοῦ τε ἁγ. Κυρίλλου καὶ Μέμνονος τοῦ Ἐφέσου. Ἡ ἐπιστολὴ αὕτη περαίνεται ὧδε: „Δεόμεθα οὖν τῆς ὑμετέρας εὐσεβείας, καὶ ἀντιβολοῦμεν, καὶ ἱκετεύομεν, ἐπειδὴ τοῖς τῆς ὑμετέρας κεφαλῆς γράμμασι τῆς φιλοχρίστου εἴξαντες τὴν Ἐφεσίων κατελάβομεν, ἀγνοοῦντες*

---

1) Apud Mansi T. IV, coll. 1212—1228.

2) *Ἐν τῇ πρώτῃ τῶν ἐπιστολῶν τούτων περιγράφει ὁ θεῖος Πατὴρ τὴν χαρὰν, ἣ κατέλαβε τὸν ὀρθόδοξον τῆς Ἐφέσου λαὸν, μαθόντα τὴν τοῦ Νεστορίου καθαίρεσιν. „Ἐπέμεινε δὲ, λέγει, πᾶς ὁ λαὸς τῆς πόλεως ἀπὸ πρωῒ ἕως ἑσπέρας, περιμένων τὸ κρῖμα τῆς ἁγίας συνόδου. Ὡς δὲ ἤκουσαν, ὅτι καθῃρέθη ὁ δύστηνος. πάντες φωνῇ μιᾷ ἤρξαντο εὐφημεῖν τὴν ἁγίαν σύνοδον καὶ δοξάζειν τὸν Θεὸν, ὅτι πέπτωκεν ὁ τῆς πίστεως ἐχθρός. Ἐξελθόντας δὲ ἡμᾶς ἐκ τῆς ἐκκλησίας προέπεμψαν μετὰ λαμπάδων ἕως τοῦ καταγωγίου· λοιπὸν γὰρ ἦν ἑσπέρα· καὶ γέγονε πολλὴ θυμηδία, καὶ λυχναψία ἐν τῇ πόλει· ὥστε καὶ γυναῖκας, θυμιατήρια κατεχούσας, προηγεῖσθαι ἡμῶν. Καὶ ἔδειξεν ὁ Σωτὴρ τοῖς δυσφημοῦσι τὴν δόξαν αὐτοῦ, ὅτι πάντα δύναται.“ ἐπιστ. κδ΄.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὰς βαρβαρικὰς ταύτας ἐφόδους, κελεῦσαι ἡμᾶς ἢ ἀνεπηρεάστους φυλαχθῆναι, καὶ ἐννόμως τὸ συνέδριον γενέσθαι, μηδενὸς τῶν κληρικῶν, ἢ τῶν μοναζόντων, μήτε τῶν ἡμετέρων, μήτε τῶν Αἰγυπτίων, ἐπεισιόντος τῷ συνεδρίῳ, μήτε τινὸς τῶν ἀκλήτως ἐληλυθότων ἐπισκόπων ἐπὶ ταραχῇ τῆς ἁγίας συνόδου, δύο δὲ σὺν τῷ μητροπολίτῃ ἀφ' ἑκάστης ἐπαρχίας, τοὺς ἐκκρίτους καὶ δυναμένους τὰ τοιαῦτα εἰδέναι ζητήματα, εἰς τὸ συνέδριον συνεισελθεῖν, καὶ μετ' εἰρήνης καὶ συμφωνίας τὴν τῶν ἁγίων Πατέρων βεβαιῶσαι πίστιν, ἢ κελεῦσαι ἡμᾶς ἀκινδύνως τὰ οἰκεῖα καταλαβεῖν· ἀπειλοῦσι γὰρ καὶ αὐτῆς τῆς ζωῆς ἡμᾶς ἀποστερεῖν"[1]). Καὶ ἡ ἁγία δὲ Σύνοδος ἔγραψεν ἐπ' ἴσης τῷ αὐτοκράτορι ἀγγέλλουσα αὐτῷ τὰ ὑπ' αὐτῆς πεπραγμένα, καὶ τοὺς λόγους δηλοῦσα ὧν ἕνεκα οὐ περιέμεινε τὴν τοῦ Ἀντιοχείας Ἰωάννου καὶ τῶν σὺν αὐτῷ ἄφιξιν. Ἀλλ' ὁ Θεοδόσιος οὐ κατὰ πάντα τὰ ὑπ' αὐτῆς ἐξενεχθέντα ἐνέκρινε.

§. 39. Τῇ πέμπτῃ ἡμέρᾳ μετὰ τὴν τοῦ Νεστορίου καθαίρεσιν (τῇ κζ' Ἰουνίου), ἀφίκετο εἰς Ἔφεσον ὁ Ἀντιοχείας Ἰωάννης μετὰ τῶν συνοδευόντων αὐτῷ ἐπισκόπων τῆς Ἀνατολῆς, τὸν ἀριθμὸν τεσσαρωνκαίδεκα[2]). Περιττὸν εἰπεῖν ὅτι ὁ Ἰωάννης ἠδύνατο ἀσμένως ἀποστῆναι τῶν τῆς ὀρθοδόξου Συνόδου πράξεων, καὶ πρότερον δηλώσας τὴν πρὸς τὸν Νεστόριον διάθεσιν αὐτοῦ, ὅτε ἐνετείλατο Ἀνδρέᾳ τῷ Σαμοσάτων καὶ τῷ μακαρίῳ Θεοδωρήτῳ ἀνασκευάσαι τοὺς τοῦ ἁγίου Κυρίλλου ἀναθεματισμούς. Μαθοῦσα ἡ ἁγία Σύνοδος τὴν εἰς τὴν πόλιν προσέγγισιν τοῦ Ἰωάννου, ἔπεμψεν ἐπισκόπους τινὰς καὶ ἐκκλησιαστικοὺς προϋπαντήσοντας αὐτῷ καὶ ἀποδώσοντας τὴν εἰς τὸ ἀξίωμα αὐτοῦ πρέπουσαν τιμήν, καὶ ἀγγελοῦντας τὴν

---

1) Ap. Mansi T. IV, coll. 1234—1236.

2) *Κατὰ τὸν Θεοφάνην (σελ. 78) οὗτοι ἦσαν 27 τὸν ἀριθμόν, ἀριθμοῦντα ἴσως τοὺς ἐξ Ἀντιοχείας μετὰ τοῦ Ἰωάννου ἀπελθόντας. Ἐπισημότεροι τούτων ἦσαν Ἰωάννης ὁ Δαμασκοῦ, καὶ Ἀντίοχων ὁ Βόστρων, μητροπολῖται· Μουσαῖος ὁ Ἀνταράδου, Παῦλος ὁ Ἐμέσης, Ἀπρίγγιος ὁ Χαλκίδος, Ἡλιάδης ὁ Ζεύγματος, καὶ Μακάριος ὁ Λαοδικείας. Τούτων οἱ τελευταῖοι τέσσαρες ἐνέκριναν μετὰ τοῦ μακαρίου Θεοδωρήτου τὴν ἐπιστολήν, ἣν ἔγραψε τῷ Νεστορίῳ ὁ Ἰωάννης. Ἀνδρέας ὁ Σαμοσάτων οὐκ ἀφίκετο, νοσῶν. Μεθ' ἑαυτῶν εἶχον πολλοὺς ἐκκλησιαστικούς, ἐν οἷς, ὡς νομίζεται, ἦν καὶ Ἴβας ὁ μετὰ ταῦτα Ἐδέσσης ἐπίσκοπος.* Tillemont. Art. LIX p. 408—409.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῦ Νεστορίου καθαίρεσιν· ἀλλὰ τούτους οὐ μόνον ἐκώλυσαν προσομιλῆσαι αὐτῷ καθ' ὁδὸν οἱ συνοδεύοντες στρατιῶται καὶ ἰδεῖν ἐν ᾧ κατέλυσεν οἰκήματι, ἀλλὰ καὶ ἐκάκωσαν. Ὁ τοσοῦτον κατὰ τῆς ἁγίας Συνόδου ἠρεθισμένος Κανδιδιανὸς ἐσπούδασε παντὶ σθένει παροξῦναι τὸν Ἰωάννην κατ' αὐτῆς, εἰπών, ὅτι πᾶσαν μὲν κατέλαβε προσπάθειαν ὅπως μὴ συγκροτηθῇ ἡ ἀκρόασις πρὸ τῆς ἀφίξεως αὐτοῦ, συνῳδὰ ταῖς τοῦ αὐτοκράτορος ἐντολαῖς, ἀλλ' ὅμως οὐκ εἰσηκούσθη· ὅτι ἡ ἐξενεχθεῖσα κατὰ τοῦ Νεστορίου ἀπόφασις ἐγένετο παρανόμως, καὶ ὅτι ταῦτα πάντα ἤγγειλεν ἤδη τῷ αὐτοκράτορι. Ταῦτα ἀκούσας ὁ Ἰωάννης εἶπεν, ὅτι ἐν συνόδῳ ἀντιρρηθήσονται τὰ δέοντα κατὰ τῶν τοιούτων ἐπιχειρημάτων. Ταχέως δὲ συνέστησε σύνοδον ἰδίαν ἐκ τεσσαράκοντα καὶ τριῶν ἐπισκόπων, ὧν τινες ἦσαν καθῃρημένοι ὑπὸ τοῦ ἁγίου Κυρίλλου διὰ πολλά τινα πλημμελήματα, διὸ καὶ ἦσαν τοῦ Νεστορίου ὑπερασπισταὶ ἔνθερμοι. Ἐν τῇ συνόδῳ ταύτῃ κατεκρίθησαν οἱ δώδεκα τοῦ ἁγίου Κυρίλλου ἀναθεματισμοί, ὡς περιέχοντες δῆθεν τὰς κακοδοξίας Ἀπολιναρίου, Ἀρείου, καὶ Εὐνομίου· ἐκηρύχθησαν δὲ αὐτός τε καὶ ὁ Μέμνων καθῃρημένοι, καὶ ἀλλότριοι τῆς τε ἐπισκοπῆς καὶ πάσης ἐκκλησιαστικῆς λειτουργίας, ὡς τῆς πάσης ἀταξίας καὶ παρανομίας ἔξαρχοι καὶ ἡγεμόνες, καὶ αἴτιοι γενόμενοι τοῦ καταπατηθῆναι τούς τε τῶν Πατέρων κανόνας καὶ τὰ τοῦ βασιλέως θεσπίσματα. Ἐκηρύχθησαν δὲ καὶ οἱ λοιποὶ ἐπίσκοποι ἀκοινώνητοι, ἕως ἄν, ἐπιγνόντες τὸ οἰκεῖον πλημμέλημα, μετανοήσωσι καὶ δέξωνται τὴν τῶν ἐν Νικαίᾳ Πατέρων πίστιν, καὶ ἀναθεματίσωσι τὰ αἱρετικὰ κεφάλαια τὰ παρὰ τοῦ ἁγίου Κυρίλλου ἐξενεχθέντα, ὡς ἐναντιούμενα τῇ εὐαγγελικῇ καὶ ἀποστολικῇ διδασκαλίᾳ. Οἱ τῆς συνόδου ταύτης ἐπίσκοποι ἔγραψαν ἐπιστολὴν πρὸς τὸν αὐτοκράτορα, μηνύουσαν αὐτῷ τὰ ὑφ' ἑαυτῶν πεπραγμένα, καὶ τὴν αἰτίαν, δι' ἣν ὑστέρησεν ὁ Ἰωάννης τοῦ ἐν καιρῷ ἀφικέσθαι εἰς Ἔφεσον. Οἱ αὐτοὶ ἔγραψαν ἐπιστολὰς καὶ πρὸς τὴν ἐν Κωνσταντινουπόλει σύγκλητον, καὶ πρὸς τὸν ἐν Κωνσταντινουπόλει λαόν, καὶ ἀναφορὰν πρὸς τὰς βασιλίσσας, ἐν αἷς ἐπανελάμβανον κατὰ διαφόρους τρόπους τὰς αὐτὰς κατὰ τοῦ ἁγίου Κυρίλλου καὶ τοῦ Μέμνονος συκοφαντίας.[1])

1) Mansi T. IV, coll. 1259—1280.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

§. 40. *Μετ' οὐ πολύ, ἀφικομένων τῶν πρέσβεων τοῦ ῥωμαϊκοῦ θρόνου Ἀρκαδίου καὶ Προϊέκτου, ἐπισκόπων, καὶ τοῦ πρεσβυτέρου Φιλίππου, τῇ δεκάτῃ Ἰουλίου, εἰς Ἔφεσον, συνεκροτήθη αὐθημερὸν ἐν τῷ ἐπισκοπείῳ τοῦ Μέμνονος ἡ δευτέρα τῆς Συνόδου συνεδρίασις, καθ' ἣν ἀνεγνώσθησαν τὰ τοῦ ἁγ. Κελεστίνου γράμματα, τὸ μὲν πρῶτον λατινιστί, ἔπειτα δὲ καὶ ἑλληνιστί. Ἐπὶ τούτοις ᾐτήσαντο οἱ πρέσβεις ἀναγνωσθῆναι τά τε ὑπομνήματα καὶ τὰ ἐπὶ τῇ καθαιρέσει τοῦ αἱρετικοῦ Νεστορίου πεπραγμένα, ὅπερ καὶ προσέταξαν ἡ ἁγία Σύνοδος γενέσθαι. Τῇ ἐπαύριον (τῇ ια' Ἰουλίου) συνελθούσης τῆς ἁγίας Συνόδου εἰς τὸν αὐτὸν τόπον, καὶ καθεσθέντων τῶν θεοσεβεστάτων ἐπισκόπων, ἀνεγνώσθησαν αὖθις τὰ ὑπομνήματα τῇ παρακλήσει τῶν αὐτῶν πρέσβεων, ὅπως, ἀκολουθήσαντες τῷ τύπῳ τοῦ ἁγίου Κελεστίνου, τοῦ ταύτην τὴν φροντίδα ἐγχειρίσαντος αὐτοῖς, ὡς καὶ τῶν Πατέρων τῆς ἁγίας Συνόδου, δυνηθῶσι πιστῶσαι τὰ κεκριμένα. Γενομένου καὶ τούτου, συνήνεσαν οὗτοι τῇ ἐξενεχθείσῃ κατὰ τοῦ αἱρετικοῦ Νεστορίου ὑπὸ τῆς ἁγίας Συνόδου ψήφῳ καὶ προσεπεκύρωσαν τὰ ὑπομνήματα ταῖς ἰδίαις ὑπογραφαῖς. Τότε ἑπτὰ τῶν ἐπισκόπων, τὰ τοῦ Νεστορίου μέχρις ἐκείνου τοῦ χρόνου φρονοῦντες, πεισθέντες περὶ τοῦ νομίμου τῶν ὑπὸ τῆς ἁγ. Συνόδου πεπραγμένων, συνωμολόγησαν τοῖς προμάχοις τῆς ὀρθοδοξίας. Ἡ ἁγία Σύνοδος ἔπεμψε παραχρῆμα τῷ αὐτοκράτορι διὰ τοῦ διακόνου Εὐτυχοῦς, ὃς μετὰ ταῦτα ἐγένετο αἱρετικός, ἐπιστολήν, μηνύουσαν αὐτῷ τὴν τῶν τοῦ Πάπα πρέσβεων ἄφιξιν, ὥσπερ καὶ τὴν ὑπ' αὐτῶν τούτων καταδίκην τοῦ Νεστορίου. Εν ταὐτῷ δὲ ἔγραψε πρός τε τὸν κλῆρον καὶ τὸν λαὸν τῆς Κωνσταντινουπόλεως περὶ τῆς τοῦ αἱρετικοῦ τούτου καθαιρέσεως.*[1])

§. 41. *Κατὰ τὴν γενομένην τῇ ις' Ἰουλίου ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ, τῇ καλουμένῃ Μαρίᾳ, τετάρτην συνεδρίασιν, ὁ ἅγιος Κύριλλος καὶ ὁ Μέμνων ἐπέδοσαν τῇ ἁγίᾳ Συνόδῳ λιβέλλους κατὰ Ἰωάννου τοῦ Ἀντιοχείας, δεόμενοι μεταπεμφθῆναι αὐτόν τε καὶ τοὺς αὐτῷ συνδραματουργήσαντας, ἵνα ἀπολογήσωνται ὑπὲρ τοῦ ἰδίου τολμήματος. Ἀπῆλθον οὖν*

---

1) Mansi T. IV, coll. 1279—1304. *Πρβλ.* Tillemont Art. LXVII p. 429—431, *καὶ* Dupin T. IV p. 297—298.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*ἐπὶ τούτῳ δὶς ἀνὰ τρεῖς ἐπίσκοποι, ἀλλ' οὐκ ἠδυνήθησαν ἰδεῖν τὸν Ἰωάννην οὐδὲ εἰπεῖν αὐτῷ τι, τῆς οἰκίας αὐτοῦ φρουρουμένης ὑπὸ πολλῶν ἐνόπλων στρατιωτῶν, κωλυόντων αὐτοὺς τῆς εἰσόδου. Τέλος δ' εὑρόντες κληρικούς τινας πρὸ τῶν θυρῶν ἑστῶτας, παρεκάλεσαν δι' αὐτῶν τὸν Ἰωάννην εἰςδέξασθαι καὶ ἀκοῦσαι παρ' αὐτῶν κατὰ πρόσωπον τὰ ἐντεταλμένα αὐτοῖς· εἰσελθόντες δὲ καὶ μηνύσαντες ταῦτα, ὑπέστρεψαν καὶ ἀνεκοινώσαντο τὴν ἑξῆς ἀπόκρισιν: „εἶπεν ὁ ἐπίσκοπος Ἰωάννης· ὅτι ἡμεῖς ἀνθρώποις καθαιρεθεῖσιν ἀφ' ἡμῶν καὶ ἀκοινωνήτοις οὖσιν ἀπόκρισιν οὐδεμίαν ποιούμεθα.“ Τότε ὁ ἅγιος Κύριλλος καὶ ὁ Μέμνων ᾐτήσαντο ἵνα ἡ ἁγία Σύνοδος ἀποφανθῇ μηδεμίαν ἰσχὺν ἔχειν τὰ παρὰ τοῦ Ἰωάννου κατ' αὐτῶν τετολμημένα, καὶ κληθῆναι αὐτὸν δεύτερον αὖθις, ἵνα ὑπενεχθῇ ἐννόμῳ καὶ δικαιοτάτῃ ἀποφάσει παρ' αὐτῆς, ὑπὲρ ὧν δέδρακεν ἀνοσίως. Ἡ ἁγία Σύνοδος, ἀποδεξαμένη τὴν αἴτησιν ταύτην, ἀπεφήνατο ὄντως μηδεμίαν ἔχειν ἰσχὺν τὰ ὑπὸ τοῦ Ἰωάννου πεπραγμένα, ἅτε δὴ οὐδὲ τολμήσαντος ἐλθεῖν πρὸς ὑπεράσπισιν ἑαυτοῦ· προσέταξε δὲ ἀνενεχθῆναι τῷ αὐτοκράτορι τὰ κατὰ τὴν ἡμέραν ἐκείνην πεπραγμένα, καὶ μεταπεμφθῆναι καὶ τρίτον αὖθις τὸν Ἰωάννην.*[1])

§. 42. *Κατὰ τὴν γενομένην τῇ ιζ' Ἰουλίου ἐν τῇ αὐτῇ ἐκκλησίᾳ πέμπτην συνεδρίασιν ἀπεστάλησαν ὑπὸ τῆς ἁγίας Συνόδου πρὸς τὸν Ἰωάννην τρεῖς ἐπίσκοποι μετὰ νοταρίου, ἵνα προςκαλέσωσιν αὐτόν τε καὶ τοὺς σὺν αὐτῷ ποιήσασθαι τὴν ἀπολογίαν ὧν ἐγκαλοῦνται. Ἐπειδὴ δὲ οὐθ' ὑπακοῦσαι οὐδ' ἀποκρίνασθαι αὐτοῖς ἠβουλήθη ὁ Ἰωάννης, ἐξήνεγκεν ἡ ἁγία Σύνοδος κατ' αὐτοῦ καὶ τῶν σὺν αὐτῷ τήνδε τὴν ἀπόφασιν: „Ἐπειδὴ ἐπισκοπικῆς χρηστότητος ἔργον εἶναι ἐλογισάμηθα μακροθυμίᾳ βαστάσαι τὰ γεγονότα, τέως μὲν ἐπὶ τοῦ παρόντος, κατὰ τὰ ἤδη τετυπωμένα, ἀλλότριος ἔστω αὐτός τε ὁ Ἰωάννης καὶ οἱ σὺν αὐτῷ, τοῦτο δραματουργήσαντες ..., τῆς ἐκκλησιαστικῆς κοινωνίας, μηδεμίαν ἔχοντες ἄδειαν, ὡς ἐξ αὐθεντίας ἱερατικῆς, εἰς τὸ δύνασθαί τινας βλάπτειν ἐκ ταύτης, ἢ ὠφελεῖν, ἄχρις ἂν ἑαυτῶν καταγνόντες τὸ οἰκεῖον ὁμολογήσωσι σφάλμα· εἰδότες, ὅτι εἰ μὴ τοῦτο ἐν τάχει ποιήσειεν, τὴν τελείαν ἐκ τῶν κανόνων ἐφ' ἑαυτοὺς ἐπισπάσονται ἀπόφασιν·*

---

1) Mansi T. IV, coll. 1305—1316.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*προδήλου κἀκείνου τυγχάνοντος, ὅτι οὐδὲ τὰ ἤδη πρότερον παρ' αὐτῶν ἀθέσμως παρὰ τοὺς κανόνας ἐφ' ὕβρει τῶν θεοφιλεστάτων καὶ ἁγιωτάτων ἐπισκόπων καὶ προέδρων τῆς ἐκκλησίας, Κυρίλλου καὶ Μέμνονος, γενόμενα, ἰσχὺν ἔχειν τινὰ κατὰ τὰ ἤδη καὶ τῇ προτεραίᾳ διαλαληθέντα." Ἡ ἁγία Σύνοδος ἀνήνεγκε τῷ αὐτοκράτορι τὰς αἰτίας, δι' ἃς ἐξηνέχθη ἡ κατὰ τοῦ Ἰωάννου καὶ τῶν σὺν αὐτῷ ἀπόφασις, ὡςαύτως δὲ καὶ τῷ Πάπᾳ Κελεστίνῳ.*[1]) *Καὶ οἱ περὶ τὸν Ἰωάννην δὲ ἔγραψαν τῷ αὐτοκράτορι, διϊσχυριζόμενοι παρανόμως ἀποδοῦναι τοῖς καθῃρημένοις ἱερουργίαν τοὺς ἀκοινωνήτους καὶ πάσης ἱερουργίας κεκωλυμένους, καὶ δεόμενοι αὐτοῦ κελεῦσαι παραγενέσθαι εἰς τὴν βασιλίδα πόλιν πρὸς ἔλεγχον τῆς παρανομίας αὐτῶν, ἤ, εἰ τοῦτο ἀδύνατον, μετακληθῆναι εἰς Νικομήδειαν.*[2])

§. 43. *Ἐν Ἐφέσῳ ἐξεφώνησεν ὁ θεσπέσιος Κύριλλος ἑπτὰ ὁμιλίας, στενῶς συνδεομένας, ὡς ἐκ τῆς ὑποθέσεως αὐτῶν, τῷ ἀντικειμένῳ τῶν ἀποφάσεων τῆς ἁγίας Συνόδου, καὶ κύριον σκοπὸν ἐχούσας τὴν τῆς κακοδοξίας τοῦ Νεστορίου καταπολέμησιν. Κατάλληλον δὲ ἡγούμεθα δεῖξαι ἐνταῦθα διὰ βραχέων τὸ περιεχόμενον αὐτῶν, καὶ τὰ περιστατικά, ἐν οἷς ἐξεφωνήθησαν. Ἐν τῇ πρώτῃ τούτων δείκνυσιν, ὅτι ἡ γνῶσις τοῦ Πατρὸς ἄνευ τῆς τοῦ Υἱοῦ ἐστιν ἀτελής, ὅτι ὁ Θεός, γενόμενος ἄνθρωπος, ἔλαβεν οὐ μόνον σῶμα, ἀλλὰ καὶ ψυχὴν λογικήν. Λέγει ὅτι οἱ λόγοι τοῦ Πατριάρχου Ἰακώβ: „Εἶδον Θεὸν πρόσωπον πρόσωπον" (Γεν. λβ', 30) ἦσαν ἀποτέλεσμα τῆς γνώσεως, ἣν ἔδωκεν αὐτῷ ὁ Θεὸς περὶ τοῦ μέλλοντος μυστηρίου τῆς ἐνανθρωπήσεως, καὶ ὅτι τὸ μυστήριον τοῦτο προετυπώθη ὑπὸ τῆς πρὸς τὸν ἄγγελον πάλης αὐτοῦ. Ἐν τῇ δευτέρᾳ ὁμιλίᾳ, ἐκφωνηθείσῃ ἐν τῷ ναῷ τοῦ ἁγίου Ἰωάννου τοῦ Εὐαγγελιστοῦ, ἀποδεικνὺς ὅτι ὁ Λόγος ἐγένετο ἀληθῶς σάρξ, λέγει πρὸς τοῖς ἄλλοις, ὅτι ὁ Εὐαγγελιστὴς οὐκ εἶπεν, ὅτι ὁ Λόγος ἦν ἐν τῷ ἀνθρώπῳ, ἀλλ' ὅτι ἐγένετο σάρξ, δηλονότι ἄνθρωπος, διαμένων σύναμα Θεός, ὡς ἦν πρότερον, ἄνευ τοῦ ὑποστῆναι μεταβολήν τινα ἢ ἀλλοίωσιν ἐν τῇ θείᾳ*

1) Mansi T. IV., coll. 1317—1337. *Πρβλ.* Tillemont Art. LXVIII —LXX p. 431—439. Pagi Crit. ad. an. 431, n. 22—33. Dupin T. IV, p. 298—299.

2) Mansi T. IV, coll. 1372—1373.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Αὐτοῦ φύσει. „Ἄτρεπτος γάρ, προστίθησιν, ἐστὶ καὶ ἀναλλοίωτος ἡ τοῦ Λόγου φύσις, καὶ οὐκ οἶδε παθεῖν τροπῆς ἀποσκίασμα. Ταῦτα φρονεῖν ἐδίδαξεν ἡμᾶς ὁ μακάριος Εὐαγγελιστής· καὶ ἄστρον ἀληθῶς τὸ μέγα, καὶ περιφανέστατον, ἄστρον χρησιμώτατον, οὐ τοῖς τὴν αἰσθητὴν διαπορευομένοις θάλασσαν, ἀλλὰ τοῖς τῆς εὐσεβείας ἐμπόροις, τοῖς τῆς ἀληθείας ἐρασταῖς, τοῖς ὀρθὴν ἐθέλουσιν ἔχειν καὶ ἀπλανῆ πίστιν.“ Ἡ τρίτη ὁμιλία φέρει τὴν ἐπιγραφὴν: Ἐν Ἐφέσῳ λεχθεῖσα πρὸς Νεστόριον, ἡνίκα κατῆλθον οἱ ἑπτὰ πρὸς τὴν ἁγίαν Μαρίαν, δηλονότι συνηνώθησαν τῇ ἁγίᾳ Συνόδῳ, συνεδριαζούσῃ ἐν τῇ ἐκκλησίᾳ τῆς Θεοτόκου Μαρίας. Ἐν τῇ ἀρχῇ τῆς ὁμιλίας ταύτης λέγει, ὅτι ἐν λύπῃ διάγοντα αὐτὸν πολλῇ εἰς χαρὰν μετέβαλεν ἡ ἐν τοῖς προσελθοῦσιν ἐπισκόποις γενομένη τῶν φρονημάτων ἀλλαγή. Ἔπειτα δέ, ὀνομάσας τὴν Θεοτόκον σεμνὸν κειμήλιον ἁπάσης τῆς οἰκουμένης, λαμπάδα ἄσβεστον, στέφανον τῆς παρθενίας, σκῆπτρον τῆς ὀρθοδοξίας, ναὸν ἀκατάλυτον, χωρίον τοῦ ἀχωρήτου, μητέρα καὶ παρθένον, κ. τ. λ., ἐγκωμιάζει τὸν πάπαν Κελεστῖνον, γράψαντα τῷ Νεστορίῳ πολλάκις ἀποστῆναι τοῦ ματαίου καὶ ἀνωφελοῦς καὶ ἀσυστάτου δόγματος, καὶ καταλήγει παραινῶν τοὺς ἀκροατὰς σέβειν τὴν παναγίαν Παρθένον Μαρίαν, καὶ τὸν ταύτης Υἱὸν καὶ νυμφίον τὸν ἄσπιλον. Ἡ τετάρτη ὁμιλία ἐξεφωνήθη καθαιρεθέντος τοῦ Νεστορίου. Πραγματεύεται δὲ καὶ ἐν ταύτῃ ὁ θεῖος Πατὴρ τὰ περὶ τῆς Θείας Ἐνανθρωπήσεως, ἣν ἀποδείκνυσι προρρηθεῖσάν τε ἐν τῇ Παλαιᾷ Διαθήκῃ καὶ πληρωθεῖσαν ἐν τῇ Καινῇ. Προτρέπει δὲ τὸν Νεστόριον, οὗ τὸ ὄνομα παρασιωπᾷ, πιστεύειν καὶ τιμᾶν τὸ μυστήριον τοῦτο, μὴ περιεργαζόμενον τὰ ὑπὲρ νοῦν, μηδὲ πολυπραγμανοῦντα τὰ ὑπὲρ λόγον, ἀλλὰ πιστεύοντα μετὰ τῶν ὀρθοδόξων. Ἡ πέμπτη ὁμιλία ἐξεφωνήθη κατὰ Ἰωάννου τοῦ Ἀντιοχείας, ὃν ἐλέγχει ὡς συμμαχήσαντα τοῖς ἐχθροῖς τοῦ Χριστοῦ, ἀντὶ τοῦ συμμαχῆσαι τοῖς τῆς ἀληθείας προμάχοις. Τὴν ἕκτην ὁμιλίαν ἐξεφώνησε πρὸ τῆς ὑπὸ τοῦ κόμητος Ἰωάννου ἐνεργηθείσης συλλήψεως καὶ παραδόσεως αὐτοῦ στρατιώταις εἰς φυλακήν. Ἐτ τῆς ὁμιλίας ταύτης δείκνυται ὅτι προσεδόκα συμφοράν τινα, διότι ἐξαίρει τὰ παθήματα, ὅσα πολλάκις οἱ ἅγιοι ὑπὸ τῶν ὀργάνων τοῦ ἄρχοντος τοῦ σκότους ὑπέστησαν. Τέλος δὲ λέγει ὅτι, ἑπόμενος τῇ πίστει τῶν εὐσεβεστάτων βασιλέων, καὶ τῆς ἑνούσης αὐτοῖς*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἡμερότητος εἰδὼς τὸ μέγεθος, τῆς τῶν ἐναντίων σκαιότητος οὐκ ἀνέξεται.[1])

§. 44. Πληροφορίας ἀκριβεῖς περὶ τῶν ἐν τῇ ἁγίᾳ Συνόδῳ πεπραγμένων οὔπω εἶχε λαβὼν ὁ αὐτοκράτωρ, τοῦ Κανδιδιανοῦ κωλύοντος τὴν Σύνοδον γνωρίσαι αὐτῷ ταῦτα. Ἀπατώμενος δὲ ὑπὸ τῶν τούτου ἐπιστολῶν, ἀτομικὰς ὑπελάμβανεν ἔχθρας καὶ οὐχὶ ἀγάπην πρὸς τὴν δικαιοσύνην καὶ τὴν πίστιν τὰ παρορμήσαντα τοὺς Πατέρας τῆς ἁγίας Συνόδου εἰς τὴν τοῦ Νεστορίου καθαίρεσιν. Ἐντεῦθεν ἔγραψεν αὐτῇ, δηλῶν τὴν ἐπὶ τοῖς γενομένοις δυσαρέστησιν αὐτοῦ. Μόνον ὁ εἰς Ἔφεσον ἀποσταλεὶς Μαγιστριανὸς Παλλάδιος παρέσχε τέλος αὐτῷ πληροφορίας τινὰς περὶ τῶν ἐν τῇ Συνόδῳ πεπραγμένων. Ἀσθενῆ ἔχων τὸν χαρακτῆρα, καὶ ὑπὸ πονηρῶν ἀνθρώπων περικυκλούμενος, ἐδίσταξε περὶ τοῦ ποιητέου. Ὑπέσχετο προστατεῦσαι τὴν Σύνοδον, ἀλλ' ἀπατηθεὶς ὑπὸ τῶν περὶ αὐτόν, μετέβαλε γνώμην.[2]) Τέλος ἀπέστειλεν εἰς Ἔφεσον τὸν κόμητα Ἰωάννην ὅπως ἐπισπεύσῃ τὴν τῶν διαμαχομένων συνδιαλλαγήν. Τὴν ἡμέραν δὲ καθ' ἣν ἀφίκετο οὗτος εἰς Ἔφεσον, ἐπεσκέψατο ἰδίᾳ τοὺς ἐπισκόπους ἀμφοτέρων τῶν μερίδων, καὶ κατ' ἐντολὴν αὐτοῦ συνῆλθον εἰς ἣν κατέλυσεν οἰκίαν, ἵνα ἀναγνῷ

---

1) Αἱ ὁμιλίαι αὗται τοῦ ἁγίου Κυρίλλου εὑρίσκονται ἐν τῷ ι'. τόμ. τῶν ἁπάντων αὐτοῦ edit. Migne. Περὶ τῆς ἐν τῷ αὐτῷ τόπῳ ἐκφωνηθείσης ἑβδόμης ὁμιλίας ποιησόμεθα κατωτέρω λόγον. — Θεόδοτος ὁ Ἀγκύρας ἀνέγνω ἐν τῇ ἁγίᾳ Συνόδῳ τρεῖς ἐξαιρέτους ὁμιλίας, πρότερον ὑπ' αὐτοῦ ἐν Ἀγκύρᾳ γενομένας, δι' ὧν ἐγκωμιάζει τὴν Παναγίαν Παρθένον, καὶ χρῆται πάνυ προσφόροις πρὸς ἐξήγησιν τοῦ μυστηρίου τῆς θείας ἐνανθρωπήσεως παραβολαῖς· κατ' ἐξοχὴν δὲ προσεπικυροῖ τὴν ἑξῆς ἀλήθειαν: „πάνθ' ὅσα ἐποίησε καὶ ἔπαθεν ὑπὲρ ἡμῶν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, οὐδαμῶς ἡμᾶς ὠφελεῖ, εἰ μὴ ἔστιν ἀληθῶς Θεός". Καὶ Ἀκάκιος δὲ ὁ Μελιτηνῆς, πάνυ λαμπροὺς τοὺς λόγους ἐνώπιον τῆς ἁγίας Συνόδου περὶ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου ποιούμενος, παρῄνει τοὺς συνελθόντας ἐπισκόπους θαρρεῖν, ὅτι „τὰ τῆς ἐπαναστάσεως ταχέως θραυσθήσεται κύματα, καὶ τῇ γαλήνῃ τῆς τοῦ Κυρίου εἰρήνης πρὸς τὸ οἰκουμενικὸν τῆς ἐκκλησίας ἐπιστρέψει πέλαγος." Αἱ ὁμιλίαι αὗται εὑρίσκονται ἐν τοῖς πρ. τῆς ἐν Ἐφ. Συν. Mansi T. V, coll. 177—226.

2) Τότε ἦν ἐν Κωνσταντινουπόλει καὶ ὁ κόμης Εἰρηναῖος, ὁ ἐγχειρίσας τῷ αὐτοκράτορι τὴν ἀπόφασιν τῆς συνόδου τῶν Ἀνατολικῶν. Ἔγραψε δὲ πρὸς αὐτούς, ὅτι ἐσπούδασε παντὶ σθένει διεγεῖραι τὸν αὐτοκράτορα κατὰ τῆς ἁγίας Συνόδου, ἀλλ' „ἐλθόντος, λέγει, Ἰωάννου τοῦ ἰατροῦ καὶ συγκέλου Κυρίλλου, ἑτέρους ὥσπερ γεγενημένους ὁρῶμεν τῶν ἀρχόντων τοὺς πλείους, καὶ οὐδὲ ἀκοῦσαι γοῦν παρ' ἡμῶν τῶν ἐπ' αὐτῶν, ἢ καὶ παρ' αὐτῶν κριθέντων ἀνεχομένους." Mansi T. IV, coll. 1393.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*αὐτοῖς τὴν ὑπὸ τοῦ αὐτοκράτορος ἐγχειρισθεῖσαν αὐτῷ ἐπιστολήν. Ὁ Νεστόριος ἦλθε πρὸς αὐτὸν λίαν πρωΐ· Ἰωάννης ὁ Ἀντιοχείας μετ' οὐ πολύ, σὺν τοῖς ἑαυτοῦ ἐπισκόποις· καὶ εἶτα ἐπίσης ὁ ἅγιος Κύριλλος, μετὰ πάντων τῶν λοιπῶν ἐπισκόπων, ἐκτὸς τοῦ Μέμνονος, κωλυθέντος ἐξ ἀσθενείας. Βουληθέντος τοῦ κόμητος ἀναγνῶναι αὐτοῖς τὴν τοῦ αὐτοκράτορος ἐπιστολήν, οἱ ὀρθόδοξοι ἐπίσκοποι εἶπον, οὐ δεῖ παρεῖναι τὸν Νεστόριον, καθῃρημένον ὄντα, οὐδὲ τοὺς Ἀνατολικούς, κεχωρισμένους ὄντας τῆς κοινωνίας. Πρὸς κατάπαυσιν τῆς ἐπὶ πολὺ διαρκεσάσης λογομαχίας εἶπεν ὁ κόμης Ἰωάννης ὅτι, τῆς ἐπιστολῆς οὔτε πρὸς τὸν Νεστόριον οὔτε πρὸς τὸν Κύριλλον ἐπιγεγραμμένης, ὤφειλον ἀποχωρῆσαι ἀμφότεροι. Οἱ ὀρθόδοξοι ἀντέστησαν, καὶ δὴ καὶ ἀπεκρούσαντο τὴν τῶν σχισματικῶν παρουσίαν, ἀλλ' ἐπὶ τέλους ὁ κόμης ἐξέβαλε διὰ τῆς βίας τόν τε Νεστόριον καὶ τὸν ἅγιον Κύριλλον, καὶ ἠνάγκασεν ἅπαντας τοὺς λοιποὺς ἀκροάσασθαι τῆς ἐπιστολῆς, ἐπιταττούσης τὴν καθαίρεσιν Νεστορίου τε καὶ Κυρίλλου καὶ Μέμνονος. Περὶ τούτου ἔλεγεν ἡ ἐπιστολὴ τάδε: „ὅθεν καὶ νῦν τὴν γνωρισθεῖσαν παρὰ τῆς εὐσεβείας ὑμῶν Νεστορίου καὶ Κυρίλλου καὶ Μέμνονος καθαίρεσιν ἐδεξάμεθα, τῶν δὲ ἄλλων τῶν παρ' ὑμῖν πραχθέντων ἔγνωμεν τὴν περὶ τὸν χριστιανισμὸν πίστιν τε καὶ ὀρθότητα.“ Ἐν αὐτῇ ἐγίνετο μνεία καὶ τῶν γραμμάτων τοῦ ἐπισκόπου τῆς Βερροιαίων ἐκκλησίας Ἀκακίου, ὅς, κωλυθεὶς διὰ τὸ βαθὺ γῆρας παραγενέσθαι τῇ Συνόδῳ, παρῄνει ἅπαντας τοὺς ἐπισκόπους ἔχειν πρὸς ἀλλήλους εἰρήνην. Τὰ γράμματα ταῦτα ἀπέστειλεν ὁ αὐτοκράτωρ τῇ Συνόδῳ, γνωστὸν ποιῶν αὐτῇ ὅτι ὁ κόμης Ἰωάννης ἐνετάλη ὑπ' αὐτοῦ ποιῆσαι „ἅπερ ἂν συνειδῇ λυσιτελεῖν“.*[1])

§. 45. *Ἐπιδοκιμαζομένης ἐν τῇ ἐπιστολῇ ταύτῃ τῆς ἀδίκου τοῦ ἁγίου Κυρίλλου καὶ τοῦ Μέμνονος καθαιρέσεως, οἱ μὲν Ἀνατολικοὶ σφόδρα ἐχάρησαν, οἱ δὲ ὀρθόδοξοι, ὧν ἡγεῖτο Φλαβιανὸς ὁ Φιλίππων, διεμαρτύροντο, λέγοντες ὅτι ἀδύνατον αὐτοῖς συναινέσαι ποτὲ τοσοῦτον ἀδίκῳ καθαιρέσει, οἵα ἡ τοῦ ἁγίου Κυρίλλου καὶ Μέμνονος. Πρὸς κατάπαυσιν τοῦ αὐξανομένου θορύβου προσέταξεν ὁ κόμης Ἰωάννης συλληφθῆναι*

---

1) Mansi T. IV, coll. 1396—1397.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τόν τε Νεστόριον καὶ τὸν ἅγιον Κύριλλον, καὶ ἐκεῖνον μὲν παρέδωκεν εἰς φυλακὴν ἐν τῷ οἴκῳ τοῦ φίλου Κανδιδιανοῦ, τοῦτον δὲ ἐν τῷ οἴκῳ κόμητός τινος, Ἰακώβου καλουμένου, καὶ ἀφικομένου μετ' αὐτοῦ εἰς Ἔφεσον. Ἐν ταὐτῷ δὲ ἀπέστειλε καὶ πρὸς τὸν Μέμνονα ῥαβδοῦχον (lictorem) μετὰ τοῦ οἰκονόμου καὶ ἀρχιδιακόνου αὐτοῦ, ἐκεῖνον μὲν ἵνα ἀγγείλῃ αὐτῷ τὴν καθαίρεσιν αὐτοῦ, τούτους δὲ ἵνα παράλαβωσι παρ' αὐτοῦ τὴν κατοχὴν καὶ τὴν διοίκησιν τῶν τῆς ἐκκλησίας κτημάτων.[1])

§. 46. Μεταβὰς ἔπειτα ὁ κόμης Ἰωάννης εἰς τὴν μεγάλην ἐκκλησίαν ἵνα προσευχηθῇ, μετεπέμψατο τὸν Μέμνονα διά τινος τῶν ἀξιωματικῶν αὐτοῦ. Ὁ Μέμνων ὑπήκουσε παραχρῆμα. Ἐλέγξας δ' αὐτὸν ὁ κόμης διὰ τὸ ὅτι κατὰ τὴν πρωΐαν οὐ παρεγένετο, παρέδωκε τῷ κόμητι Ἰακώβῳ, ἐπιτάξας φυλάττειν αὐτὸν μετὰ τοῦ ἁγίου Κυρίλλου. Εἰςήχθησαν δὲ εἰς κεχωρισμένον οἶκον ἑκάτερος καὶ ἐφυλάττοντο λίαν αὐστηρῶς, μάλιστα δὲ ὁ ἅγιος Κύριλλος, νυκτός τε καὶ ἡμέρας ὑπὸ πολλῶν στρατιωτῶν, τεταγμένων οὐ μόνον πρὸ τῶν θυρῶν τῶν δωματίων, ἐν οἷς ἦσαν κεκλεισμένοι, ἀλλὰ καὶ περὶ τοὺς παρακειμένους οἴκους, ἐπιτηρούμενος. Τὰ κατὰ τὴν πρώτην ταύτην ἡμέραν ἤγγειλεν ὁ κόμης Ἰωάννης τῷ αὐτοκράτορι, προσεπιλέγων, ὅτι προὔτρεπεν εἰς τὴν εἰρήνην τοὺς ἐπισκόπους, καὶ ὅτι ὑπὲρ ταύτης ποιήσει πᾶν ὅτι αὐτῷ δυνατόν, καίπερ μικρᾶς οὔσης ἐλπίδος, ἕνεκα τοῦ ἐπικρατοῦντος μεγάλου ἐρεθισμοῦ ἑκατέρωθεν.[2])

§. 47. Μαθοῦσα ἡ ἁγία Σύνοδος, ὅτι ἡ ὑπὸ τοῦ κόμητος γενομένη ψευδὴς ἀναφορὰ οὐ μικρὰν προὐξένησε τῇ αὐλῇ δυςαρέστησιν, ἔγνω γράψαι τῷ αὐτοκράτορι δευτέραν ἐπιστολήν, πολλῷ τῆς πρώτης περιπαθεστέραν, ἐν ᾗ λέγουσιν αὐτῷ οἱ ἅγιοι Πατέρες, ὅτι κατελύπησεν αὐτοὺς ἡ ἀναγνωσθεῖσα ἐκείνη ὑπὸ τοῦ κόμητος ἐπιστολή, ὡς πεμπομένη ἀδιαφόρως πρός τε τοὺς σχισματικοὺς τῆς Ἀνατολῆς καὶ πρὸς τοὺς ὀρθοδόξους, ὅτι οὐχ ἅπαντες οἱ ἐπίσκοποι τῆς Συνόδου καθήρεσαν, ὡς ἠγγέλθη αὐτῷ ψευδῶς, τὸν ἅγιον Κύριλλον καὶ τὸν Μέμνονα, ὅτι ἡ Σύνοδος, ὑποστηριζομένη ὑπό τε τῆς Ῥώμης καὶ ἁπάσης

1) Tillemont Art. LXXVII p. 455—457.

2) Tillemont αὐτόθ. Ἡ πρὸς τὸν αὐτοκράτορα ἐπιστολὴ τοῦ κόμητος Ἰωάννου εὕρηται λατινιστὶ γεγραμμένη ap. Mansi T. IV, coll. 1397—1399.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*τῆς Δύσεως καὶ ἁπάσης τῆς Ἀφρικῆς, τὸν Νεστόριον μόνον καθεῖλε, καὶ ὅτι τοὺς ἑτέρους δύο, ἐπὶ ζήλῳ τε ὀρθοδοξίας ἐθαύμαζε, καὶ ἡγεῖτο αὐτοὺς πολλῶν καὶ παρὰ τοῖς ἀνθρώποις ἐπαίνων καὶ παρὰ τῷ Δεσπότῃ Χριστῷ στεφάνων ἀξίους εἶναι· ὅτι οἱ ὀπαδοὶ τοῦ Νεστορίου, εἰς ὕβριν τὴν κατὰ τῶν δύο ἐπισκόπων τραπέντες, τούς τε κανόνας πατῆσαι ἐτόλμησαν, καὶ ἑαυτοὺς ἀκοινωνήτους πάσης τῆς οἰκουμενικῆς Συνόδου διὰ τῆς ἑαυτῶν προπετείας εἰργάσαντο· ὅτι οὐδαμῶς εἰς κοινωνίαν ἠνείχοντο δέξασθαι αὐτοὺς διὰ τὴν τοιαύτην αὐτῶν ἀτοπίαν καὶ διὰ τοὺς ὑπὲρ τοῦ καθῃρημένου Νεστορίου ἀγῶνας αὐτῶν, διὰ τὸ φρονεῖν τὰ ἐκείνου, διὰ τὸ ὑποπεσεῖν τοῖς κανόσιν ἕνεκα τῆς παρανόμου αὐτῶν πρὸς τοὺς δύο ἐπισκόπους ἐπιχειρήσεως, καὶ διὰ τὸ τολμῆσαι συναρπάσαι τὰς ἀκοὰς τοῦ αὐτοκράτορος. Τέλος δ' ἱκετεύουσιν αὐτόν, εἰ βούλεται μαθεῖν ἀκριβῶς τὴν τῶν πεπραγμένων ἀλήθειαν, ἐπιτρέψαι αὐτοῖς ἀποστεῖλαι αὐτῷ ἐπισκόπους τινάς, ὥςτε καὶ κατὰ πρόσωπον περὶ πάντων πληροφορῆσαι αὐτόν.*[1])

§. 48. *Ἡ ἁγία Σύνοδος ἔγραψε σύναμα καὶ πρὸς τοὺς ἐν Κωνσταντινουπόλει διατρίβοντας ἐπισκόπους ἐπιστολήν, ἥπερ οὐ διεσώθη, ὀψιαίτερον δὲ πάλιν τοῖς τε αὐτοῖς καὶ τοῖς ἐν τῇ πόλει ταύτῃ πρεσβυτέροις καὶ διακόνοις. Μετὰ περιπαθείας περιγράφουσιν αὐτοῖς οἱ Πατέρες τὴν πίεσιν, ἣν ἐπὶ τρεῖς μῆνας ὑφίσταντο, καὶ παρακαλοῦσιν αὐτοὺς ὡς τέκνα γνήσια παραστῆναι τῷ αὐτοκράτορι καὶ δηλῶσαι αὐτῷ τὰ κατ' αὐτῶν γενόμενα, καὶ αἰτήσασθαι ὑπὲρ ἁπάσης τῆς Συνόδου ἀποδοθῆναι αὐτοῖς τοὺς οὐδαμῶς ὑπ' τῶν κανόνων κατακριθέντας, τοῦτ' ἔστι τὸν ἅγιον Κύριλλον καὶ τὸν Μέμνονα, ἐλεηθῆναι δὲ αὐτοὺς καὶ ἀνακληθῆναι ἀπὸ τοῦ εὐπροσώπου τούτου περιορισμοῦ. „Καὶ εἰ μὲν ἄξιοι, προσεπιλέγουσιν, ἐσμὲν ἰδεῖν τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου βασιλέως τὸ πρόσωπον, τοῦτο ἐπιτραπῆναι ποιῆσαι· εἰ δὲ ἀνάξιοι τούτου ἐκρίθημεν, κἂν εἰς τὰς ἑαυτῶν ὑποστρέψαι ἐκκλησίας, ἵνα μὴ ἐνταῦθα πάντες καταφθαρῶμεν, οἱ μὲν ὑπὸ νόσου, οἱ δὲ ὑπὸ ἀθυμίας ἀναλισκόμενοι.“*[2])

---

1) Mansi T. IV, coll. 1433—1436.

2) Mansi T. IV, coll. 1444—1448. *Τὴν ἐπιστολὴν ταύτην ὑπέγραψαν μόνοι οἱ πρῶτοι τῶν ἐπισκόπων.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

§. 49. *Οἱ ἐν Κωνσταντινουπόλει εὑρεθέντες ἐπίσκοποι ἀπεκρίναντο πρὸς τοὺς Πατέρας τῆς ἁγίας Συνόδου δι' ἐπιστολῆς γραφείσης τῇ ιγ' Αὐγούστου τοῦ ἔτους* 431, *ἐν ᾗ ἀγγέλλουσιν αὐτοῖς, ὅτι ἐγένοντο οὐκ ἄχρηστοι τοῖς ἐν τῇ πόλει ταύτῃ, „ῥωννύντες μὲν τὸν λαόν, καὶ τὸν ζῆλον τῶν πλείστων ἐξάπτοντες, ὑπηρετοῦντες δὲ καὶ τοῖς ἱερεῦσιν ὅσα ἐδόκει ἐκείνοις.“ Συγχαίρουσιν αὐτοῖς ἐπὶ τοῖς ὑπὲρ τῆς ὀρθοδοξίας παθήμασι καὶ λέγουσιν ἐν τέλει: „Δότε καὶ ἡμῖν τῶν πρακτέων συμβουλὴν δι' ἐπιστολῆς, ἵνα, εἰ μὲν δεῖ καταλαβεῖν τὴν ἁγίαν Σύνοδον, καὶ τὰ ἀπόλοιπα τῶν ἀγώνων συνδιενεγκεῖν, τοῦτο ποιήσωμεν. Πρόθυμον γὰρ τὸ καθ' ἡμᾶς. Εἰ δὲ μένειν ἐνταῦθα κελεύετε, ἐπειδὴ διὰ τὸν προσκυνητὸν Θεὸν χρηστὰ καὶ τὰ παρὰ τοῦ θεοφιλεστάτου καὶ εὐσεβεστάτου βασιλέως ἡμῖν ἀγγέλλεται, τοῦτο φανερὸν καταστήσατε, ἵνα μὴ ἐπὶ πολὺ ὦμεν ὑπὸ τῆς ἄγαν φροντίδος ἐκδαπανώμενοι.“*[1])

§. 50. *Ὁ ἅγιος Κύριλλος ἔγραψεν ἐπ' ἴσης ἐπιστολὴν πρὸς τὸν κλῆρον τῆς Κωνσταντινουπόλεως. Ἐν ταύτῃ λέγει ὁ θεῖος Πατήρ, ὅτι μυρία πεποίηκεν ὁ κόμης Ἰωάννης ὅπως πείσῃ τὴν Σύνοδον ἐλθεῖν εἰς κοινωνίαν Ἰωάννῃ τῷ Ἀντιοχείας καὶ τοῖς σὺν αὐτῷ ἐπισκόποις, ὅτι ἅπαντες οἱ Πατέρες οὐδ' ἀκοῦσαι ἠνείχοντο τοιαύτης φωνῆς, ἀλλ' ἐνίσταντο λέγοντες, ὅτι ἀδύνατον τοῦτο, ἐὰν μὴ προςπέσωσι τῇ Συνόδῳ καὶ ἀναθεματίσωσι τὰ δόγματα τοῦ Νεστορίου ἐγγράφως. Ὁ κόμης Ἰωάννης ᾔτει ἐπ' ἴσης, παρὰ τῆς Συνόδου ἔγγραφον τῆς πίστεως ἔκθεσιν, ἵνα πείσῃ καὶ ἐκείνους ὑπογράψαι, καὶ εἴπῃ τῷ αὐτοκράτορι, ὅτι διήλλαξεν αὐτοὺς ἀνθρωπίνας λύπας ἔχοντας ἐν ἀλλήλοις. Ἀλλὰ καὶ εἰς τοῦτο ἀνένευσεν ἡ ἁγία Σύνοδος, λέγουσα: „Οὐχ ὑβρίζομεν ἑαυτούς. Οὐ γὰρ αἱρετικοὶ κεκλήμεθα, ἀλλ' ἤλθομεν πίστιν ἀθετουμένην στῆσαι, ἣν καὶ ἐστήσαμεν· καὶ οὐ χρήζει βασιλεὺς νῦν τοῦ μαθεῖν τὴν πίστιν, εἰδὼς αὐτήν, καὶ ἐν αὐτῇ βαπτισθείς.“ „Οὐ προέβη τοίνυν, λέγει, οὐδὲ τοῦτο τοῖς ἀπὸ τῆς Ἀνατολῆς.“ Εὐθὺς δὲ μετὰ ταῦτα λέγει: „Κἀκεῖνο δὲ γινώσκετε, ὅτι συνθέντες ἔκθεσιν πίστεως, ἐφιλονείκησαν πρὸς ἀλλήλους, καὶ εἰσὶν ἐν τῷ φιλονεικεῖν ἔτι. Οἱ μὲν γὰρ αὐτῶν καταδέχονται Θεοτόκον εἰπεῖν τὴν ἁγίαν Παρθένον μετὰ τοῦ καὶ τοῦ ἀνθρωποτόκον, οἱ δὲ παντελῶς ἀρνοῦνται, καί*

---

1) Mansi T. IV, coll. 1449.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*φασιν ἑτοίμως ἔχειν ἀποτμηθῆναι τῶν χειρῶν, ἢ ὑπογράψαι τοιαύτῃ φωνῇ.“ Ἔπειτα ἀξιοῖ ὁ θεσπέσιος Πατὴρ ἵνα τὰ ἐν αὐτῇ γένωνται ἅπασι γνωστά, πρὸ πάντων δὲ τοῖς ἀρχιμανδρίταις, ἵνα μὴ ὁ κόμης Ἰωάννης ἐπανελθὼν εἴπῃ ἕτερα ἀνθ᾽ ἑτέρων. Ἐπὶ τέλους δὲ λέγει: „Ἐν πολλῇ δὲ θλίψει πάντες ἐσμὲν καὶ δια τὸ φρουρεῖσθαι παρὰ στρατιωτῶν, καὶ πρὸ τῶν ἰδίων κοιτώνων ἔχειν αὐτοὺς καθεύδοντας, μάλιστα (δὲ) ἡμεῖς. Ἡ δὲ ἄλλη πᾶσα σύνοδος ἀπέκαμε καὶ κάμνει. Καὶ οἱ πλείους ἀπέθανον· λοιπὸν δὲ καὶ οἱ λοιποὶ τὰ ἑαυτῶν πιπράσκουσιν, οὐκ ἔχοντες ἀναλώματα.“*[1])

§. 51. *Ὁ θεῖος Διδάσκαλος ἔγραψε καὶ πρὸς τοὺς ἐν Κωνσταντινουπόλει διατρίβοντας αἰγυπτίους ἐπισκόπους Θεόπεμπτον, καὶ Ποτάμονα, καὶ Δανιῆλον ἐπιστολὴν περὶ ὧν ἔπαθε συσκευῶν διὰ τῶν κατὰ Νεστορίου καὶ Ἰωάννου χαρτίων. Ἐν τῇ ἐπιστολῇ ταύτῃ λέγει ἣν ᾐσθάνετο χαρὰν πάσχων ὑπὲρ τῆς ἀληθείας. „Εὐχαριστοῦμεν, λέγει, τῷ Θεῷ, ὅταν καταξιωθῶμεν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ οὐ δεσμῶται γενέσθαι μόνον, ἀλλὰ γὰρ καὶ τὰ ἕτερα πάντα ὑπομεῖναι.“ Καὶ ἐν ταύτῃ ἀφηγεῖται ἃ εἶπεν ἡ ἁγία Σύνοδος, ἀρνουμένη κοινωνῆσαι τῷ Ἰωάννῃ. „Ἰδοὺ τὰ σώματα, ἰδοὺ αἱ ἐκκλησίαι, ἰδοὺ αἱ πόλεις, ἐξουσίαν ἔχετε ἡμᾶς κοινωνῆσαι ἀδύνατον τοῖς Ἀνατολικοῖς, ἂν μὴ λυθῇ τὰ κατασκευασθέντα ἐκ τῆς αὐτῶν συκοφαντίας κατὰ τῶν συλλειτουργῶν ἡμῶν, ὁμολογήσωσι δὲ καὶ τὴν πίστιν ὀρθήν. Καταγινώσκονται γὰρ τὰ Νεστορίου καὶ λαλοῦντες, καὶ φρονοῦντες, καὶ ὁμολογοῦντες.“*[2])

§. 52. *Οὐ σμικρὰν ᾔσθετο χαρὰν ὁ ἔνδοξος ὁμολογητὴς μαθὼν τὰς ὑπὲρ αὐτοῦ συντόνους ἐνεργείας καὶ τὴν ἐπὶ τοῖς*

---

1) Ἐπ. κζ'.

2) Ἐπ. κη'. *Καὶ οἱ Ἀνατολικοὶ ἔγραψαν ἐπιστολὰς πρὸς τὸν αὐτοκράτορα, πρὸς τὴν ἐκκλησίαν τῆς Ἀντιοχείας, καὶ πρὸς Ἀκάκιον τὸν Βερροίας. Ἐν τῇ πρὸς τὸν αὐτοκράτορα ἐπιστολῇ ἠξίουν τηρεῖσθαι τὴν τῆς Νικαίας πίστιν καὶ ἀπορριφθῆναι τοὺς δώδεκα τοῦ ἁγίου Κυρίλλου ἀναθεματισμούς, ὡς πλήρεις πλανῶν κατ᾽ αὐτούς. Ἐν τῇ πρὸς τὴν ἐκκλησίαν τῆς Ἀντιοχείας ἐπιστολῇ ἀφηγοῦντο τὰ ὑπὸ τοῦ κόμητος Ἰωάννου ἐν Ἐφέσῳ πεπραγμένα, τὴν συναίνεσιν ἣν ἔδωκεν ὁ αὐτοκράτωρ τῇ καταδίκῃ τοῦ Κυρίλλου καὶ τοῦ Μέμνονος, καὶ πόσον αὐστηρῶς ἐφρουροῦντο ἀμφότεροι. Τῷ Ἀκακίῳ ἐμήνυσαν ἐπ᾽ ἴσης τὴν καταδίκην καὶ τὴν φυλακὴν ἀμφοτέρων τούτων, οὐδὲν εἰπόντες περὶ τοῦ Νεστορίου· μέμφονται δὲ τοῖς ἑαυτῶν ἀντιπάλοις ἁπανταχόσε ἐπιστολὰς γράψασιν ὅπως τὰς πόλεις καὶ τὰς ἐπαρχίας πληρώσωσι στάσεων.*



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*παθήμασι συμπάθειαν τῶν ἐν Κωνσταντινουπόλει. Αλύπιος, πρεσβύτερος τῆς ἐκκλησίας τῶν ἁγίων Ἀποστόλων, μετέσχεν οὐχ ἧττον τῶν ἄλλων εὐσεβῶν τῆς πρωτευούσης κατοίκων τῶν ὑπὲρ αὐτοῦ ἀγώνων, μεγάλως τιμῶν τὸν κλεινὸν τῆς ὀρθῆς πίστεως πρόμαχον. Ἔγραψεν αὐτῷ ἐπιστολὴν πλήρη ἐγκωμίων ἐπὶ τῇ θαυμαστῇ εὐσταθίᾳ, δι' ἧς ὁ θεῖος Πατὴρ ὑπερήσπιζε τὴν ἀλήθειαν καὶ ἔπασχεν ὑπὲρ αὐτῆς ὡς ἕτερος Ἀθανάσιος· καὶ ηὔχετο ἐν αὐτῇ καταξιωθῆναι „ἰδεῖν αὐτοῖς ὀφθαλμοῖς τὸ ἅγιον αὐτοῦ πρόσωπον, καὶ κρατῆσαι τῶν γονάτων, καὶ ἀπολαῦσαι μάρτυρος, ἐν καιρῷ εἰρήνης τοὺς στεφάνους ἀναδησαμένου.“ Ἐπὶ τέλους δὲ προσαγορεύει καὶ ἅπασαν τὴν ἁγίαν Σύνοδον τῶν ἁγίαν ἀνδρῶν, τῶν ἀναδησαμένων μετ' αὐτοῦ τὸν τοῦ μαρτυρίου στέφανον.*[1])

§. 53. *Καθ' ὃν χρόνον ἐφρουρεῖτο ἐγκαθειργμένος, ἔγραψεν ὁ ἅγιος Πατὴρ τὴν τῶν δώδεκα κεφαλαίων ἐπίλυσιν, τῆς ἁγίας Συνόδου ἀξιωσάσης σαφέστερον ἐκτρανωθῆναι τὴν τούτων λύσιν. Τῶν κεφαλαίων τούτων, ἢ ἀναθεματισμῶν, καθήπτοντο, τινὲς μὲν τῶν Ἀνατολικῶν ὡς δῆθεν ἀσαφῶς ἐξενηνεγμένων, τινὲς δὲ ὡς δῆθεν ἐναντίων τῇ ὀρθῇ πίστει. „Ἐπειδὴ δέ, λέγει ὁ ἅγ. Πατήρ, εἰκὸς ταῖς παρ' ἐκείνων εὑρεσιολογίαις παρενηνεγμένους μὴ συνιέναι τινὰς πῶς καὶ τίνα τρόπον γεγόνασι, δεῖν ᾠήθην ἕκαστον τῶν ἀναθεματισμῶν ἑρμηνεῦσαι διὰ βραχέων, καὶ τὴν δύναμιν αὐτῶν ὡς ἔνι καλῶς ἀφηγήσασθαι.“ Ἐνταῦθα δείκνυσιν ὅτι διδάσκει συνῳδὰ τῇ πίστει τῆς Νικαίας καὶ τῇ διδασκαλίᾳ τοῦ Ἀποστόλου Παύλου, ἀναθεματίζων τοὺς ἀρνουμένους ὁμολογεῖν τὴν Παναγίαν Παρθένον μητέρα τοῦ Θεοῦ, ὥςπερ καὶ ὅτι ὁ Λόγος ὁ ἐκ τοῦ Πατρὸς γεννηθείς, ἡνώθη τῇ σαρκὶ ὑποστατικῶς, καὶ οὐχὶ συναφείᾳ τῇ κατὰ τὴν ἀξίαν, ἤγουν αὐθεντίαν, ἢ δυναστείαν, ὡς διϊσχυρίζετο ὁ Νεστόριος.*

§. 54. *Θαυμάσας ὁ αὐτοκράτωρ τὴν τῆς ἁγίας Συνόδου γενναιότητα καὶ εὐστάθειαν, καὶ καμφθεὶς ὑπό τε τῶν ὑπὲρ αὐτῆς τοῦ τῆς Κωνσταντινουπόλεως κλήρου δεήσεων*[2]), *καὶ*

---

1) *Ἡ ἐπιστολὴ αὕτη εὕρηται ἐν ταῖς τοῦ ἁγίου Κυρίλλου,* ed. Migne T. X p. 145—148.

2) *Ἀξιοθαύμαστος ἡ παρρησία, ᾗ ἐχρήσατο γράψας τῷ αὐτοκράτορι ὑπὲρ τῆς ἁγίας Συνόδου ὁ ἱερὸς τῆς Κωνσταντινοπόλεως κλῆρος. Ἡ ἐπιστολὴ αὐτοῦ αὕτη εὕρηται* apud Mansi T. IV, coll. 1453—1456.

*τῆς τῶν ἀρχιμανδριτῶν ὁμολίας, καὶ κατ᾽ ἐξοχην τῆς μετὰ τοῦ περιωνύμου ἁγίου Δαλματίου*[1]), *παρεκελεύσατο διὰ τοῦ κόμητος Ἰωάννου τοῖς ἐπισκόποις ἀμφοτέρων τῶν μερίδων, δηλ. τῆς τε τοῦ ἁγίου Κυρίλλου καὶ τοῖς τοῦ Ἰωάννου τοῦ Ἀντιοχείας, ἐξαποστεῖλαι αὐτῷ πρέσβεις ἀναδιδάξοντας αὐτὸν πάντα τὰ πεπραγμένα. Ἡ ἁγία Σύνοδος ἐξελέξατο καὶ ἀπέστειλεν ὀκτὼ πρέσβεις, τὸν πρεσβύτερον Φίλιππον, τὸν τόπον τοῦ πάπα Κελεστίνου διέποντα, καὶ ἑπτὰ ἐπισκόπους τούςδε, Ἀρκάδιον, ἕνα τῶν ἀντιπροσώπων τῆς Δύσεως, Ἰουβενάλιον τὸν Ἱεροσολύμων, Φλαβιανὸν τὸν Φιλίππων, Φίρμον τὸν Καισαρείας, Θεόδοτον τὸν Ἀγκύρας, Ἀκάκιον τὸν Μελιτηνῆς, καὶ Εὐόπτιον*

---

1) *Ὁ ἅγιος Δαλμάτιος, εὐξάμενος ὑπὲρ τῆς ὑποθέσεως ταύτης, ἤκουσε φωνῆς οὐρανόθεν λεγούσης αὐτῷ ἐξελθεῖν τοῦ μοναστηρίου αὐτοῦ, ἔνθα διέμεινε τεσσαράκοντα καὶ ὀκτὼ ἔτη οὐκ ἐξελθὼν αὐτοῦ πώποτε, καίπερ πολλάκις ὑπ᾽ αὐτοῦ τοῦ αὐτοκράτορος παρακληθείς. Τότε ἐξῆλθε, καὶ μετ᾽ αὐτοῦ ἅπαντες οἱ μοναχοὶ ἅμα τοῖς ἡγουμένοις αὐτῶν, ἐπὶ τὸ παλάτιον, καὶ σὺν αὐτοῖς λαὸς πολὺς τῶν ὀρθοδόξων. „Ὡς οὖν ἦλθον εἰς τὸ παλάτιον, κληθέντες παρὰ τοῦ βασιλέως, εἰςῆλθον οἱ ἀρχιμανδρῖται, καὶ ἔμεινε τὸ πλῆθος τῶν μοναζόντων καὶ τῶν λαῶν ψάλλοντες ἀντίφωνα. Εἶτα ἐξῆλθον τυχόντες δικαίας ἀποκρίσεως. Βοῶσι πάντες τὰ μανδάτα τοῦ βασιλέως· εἶτα ἀπολογοῦνται ὅτι, ἀπέλθωμεν εἰς τὸ μοναστήριον τοῦ ἁγίου Μωκίου, καὶ ἀναγνώσωμεν τὴν ἐπιστολήν· μανθάνετε καὶ τὴν ἀπολογίαν τοῦ βασιλέως. Λοιπὸν ἀπῆλθον πάντες, καὶ οἱ μονάζοντες καὶ οἱ λαοί· ἦν γὰρ ἡ ὁδὸς κεφαλὴ μία· ψάλλοντες αὐτὸν τὸν τελευταῖον ψαλμὸν . . . ἔρχονται εἰς τὸ μαρτύριον τοῦ ἁγίου Μωκίου, καὶ ἀναγινώσκεται αὐτοῖς ἡ ἐπιστολή. Ὁ λαὸς ὁ ἐν Κωνσταντινουπόλει, μιᾷ φωνῇ πάντων, ἀνάθεμα Νεστορίῳ . . .“ (Ἀντίγραφον τῶν εὑρεθέντων ἐν Κωνσταντινουπόλει ἐπισκόπων πρὸς τὸ παρὰ τῆς ἁγίας Συνόδου ὑπομνηστικόν,* Mansi T. IV, coll. 1428—1429). *Ὁ ἱερώτατος Δαλμάτιος, ἀναβὰς ἐπὶ τὸ βῆμα, ἐξεφώνησε βραχεῖαν ὁμιλίαν, δι᾽ ἧς ἔπεισε τοὺς παρισταμένους ὅτι τὴν ἀναγνωσθεῖσαν αὐτοῖς ἐπιστολὴν ἀνέγνω καὶ ὁ αὐτοκράτωρ καὶ πεισθεὶς ἐγκρίνει, ἐλθεῖν πρὸς αὐτὸν τοὺς παρὰ τῆς ἁγίας Συνόδου πεμπομένους ἐπισκόπους, ὅπως οὗτοι γνωρίσωσιν αὐτῷ τὰ πεπραγμένα. Ἀκούσας ταῦτα ὁ λαὸς ἀνεβόησεν: Ἀνάθεμα Νεστορίῳ* (Mansi T. IV, coll. 1429). — *Καὶ ὁ ἐπὶ σοφίᾳ καὶ ἀρετῇ περίδοξος ἅγιος Ἰσίδωρος ὁ Πηλουσιώτης ἔγραψε τῷ αὐτοκράτορι ὑπὲρ τῆς ἁγίας Συνόδου τὴν ἐπιστολὴν τήνδε: „Εἰ μὲν αὐτὸς λαμβάνῃ καιροῦ παρεῖναι τοῖς κρινομένοις ἐν Ἐφέσῳ, προςέσται τούτοις εὖ οἶδα τὸ ἄμεμπτον. Εἰ δὲ ὀχλώδει ἀντιπαθείᾳ τὰς ψήφους ἐκδώσειας, τίς ἐξαιρήσεται τὴν σύνοδον σκωμμάτων; Παρέξεις δὲ τούτοις θεραπείαν, εἰ παύσειας τῶν δογματισμῶν τοὺς σοὺς διακόνους, πρὸς μέγα χάσμα διεστῶτας, βασιλεῖ ὑπηρετεῖσθαι καὶ Θεῷ διαφιλονεικεῖσθαι· μήπως τῷ κράτει σάλον ἐπενέγκωσι, τῇ πέτρᾳ τῆς ἐκκλησίας προςρηγνύντες τὰ τῆς κακοπιστίας αὐτῶν μηχανήματα. Αὕτη γὰρ ἐρήρεισται, καὶ οὔτε ὑπὸ πυλῶν ᾅδου κυριεύεται, ὡς ὁ δράσας αὐτὴν Θεὸς ἐπηγγείλατο“ (Βιβλ. Α΄. ἐπ. τια΄.).*



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸν Πτολαιμαΐδος. Εἰ καὶ οἱ ἀπεσταλμένοι οὗτοι ἦσαν οἱ πρῶτοι τῶν ἐπισκόπων, ὅμως ἡ ἁγία Σύνοδος ἐνετείλατο αὐτοῖς μηδὲν ποιεῖν ἐξ ἑαυτῶν μηδὲ παρὰ τὰς δοθείσας αὐτοῖς ὁδηγίας, πρὸ πάντων δὲ μηδαμῶς κοινωνῆσαι Ἰωάννῃ τῷ Ἀντιοχείας καὶ τῷ σὺν αὐτῷ τῆς ἀποστασίας συνεδρίῳ. „Εἰ δέ, προσεπιλέγουσιν οἱ Πατέρες, ἀνάγκη τις παρὰ τοῦ εὐσεβεστάτου προάγοιτο βασιλέως, ἐπεὶ δεῖ φιλοχρίστῳ καὶ εὐσεβεῖ κράτει κατὰ δύναμιν πειθαρχεῖν, εἰ ἕλοιντο οἱ προειρημένοι ὑπογράψαι μὲν τῇ Νεστορίου καθαιρέσει, διὰ λιβέλλων δὲ συγγνώμην αἰτῆσαι παρὰ τῆς ἁγίας συνόδου, ἐφ' οἷς προεπετεύσαντο κατὰ τῶν ἡμετέρων προέδρων, ἀναθεματίσαι δὲ πρωτοτύπως καὶ τὰ Νεστορίου δόγματα, καὶ τοὺς προδήλως τὰ αὐτὰ φρονοῦντας καὶ φρονήσαντας ἀπορρίψασθαι, καὶ σὺν ἡμῖν πονῆσαι εἰς τὸ ἀποδοθῆναι ἡμῖν τοὺς ἁγιωτάτους ἀρχιεπισκόπους Κύριλλον καὶ Μέμνονα, ἐπιτρέπομεν τῇ ὑμετέρᾳ ἁγιότητι, τούτων γενομένων, ὑποσχέσθαι μὲν αὐτοῖς τὴν κοινωνίαν, γράψαι δὲ πρὸς ἡμᾶς· ὥςτε, καὶ ἡμῶν ὑμῖν συντιθεμένων, τελείαν τὴν πρὸς αὐτοὺς γενέσθαι εἰρήνην· μὴ πρότερον δὲ αὐτοῖς κοινωνίαν ὑποσχέσθαι, εἰ μὴ τοὺς προέδρους ἑαυτῆς ἀπολάβοι ἡ ἁγία σύνοδος. Εἰδέναι δὲ βουλόμεθα τὴν ὑμετέραν ὁσιότητα, ὅτι περ, εἴ τι τούτων παροφθείη παρ' ὑμῶν, οὔτε ἡ ἁγία σύνοδος καταδέξεται τὰ παρ' ὑμῶν πραττόμενα, οὔτε ὑμᾶς ἕξει κοινωνούς." [1])

§. 55. Καὶ οἱ Ἀνατολικοὶ ἐξαπέστειλαν ὀκτὼ ἐπισκόπους τοὺς ἑξῆς: Ἰωάννην τὸν Ἀντιοχείας, Ἰωάννην τὸν Δαμασκοῦ, Ἱμέριον τὸν Νικομηδείας, Παῦλον τὸν Ἐμίσης, Μακάριον τὸν

---

1) Mansi T. IV, coll. 1457—1460. Ἡ Σύνοδος ἔδωκεν ἐπ' ἴσης τοῖς πρέσβεσιν αὐτῆς λιβέλλους ἀντιρρητικοὺς εἰς τὰς τῶν Ἀνατολικῶν ἀξιώσεις, καὶ ἐπιστολὴν πρὸς τὸν αὐτοκράτορα, ἐν ᾗ θερμῶς οἱ Πατέρες ὑπὲρ τοῦ ἁγίου Κυρίλλου καὶ τοῦ Μέμνονος ἱκετεύουσι. Διὰ τῶν αὐτῶν ἐδόθησαν ἀποκρίσεις τοῖς τε ἑπτὰ ἐπισκόποις, τοῖς ἐκ Κωνσταντινουπόλεως ἐπιστείλασι, καὶ τῷ ἁγίῳ Δαλματίῳ. Ἐν τῇ πρὸς τὸν ἔξοχον τοῦτον ἅγιον ἐπιστολῇ ἀνομολογεῖ ἡ ἁγία Σύνοδος ὅτι οὗτος ἐστὶν ὁ διδάξας τὸν αὐτοκράτορα πάντα τὰ παρακολουθήσαντα καὶ γεγενημένα παρ' αὐτῆς περὶ τῆς τοῦ Νεστορίου καθαιρέσεως. Ἐν τέλει δὲ τῆς ἐπιστολῆς λέγει: „Ὡς γὰρ ἔγνωμεν, ὅτι καὶ πρὸ τοῦ ἐπιδημῆσαι Νεστόριον ἐν Κωνσταντινουπόλει ἀπεκάλυψέ σοι τὰ ἐν τῇ καρδίᾳ αὐτοῦ ὁ Θεός, καὶ ὅτι πᾶσι τοῖς ἐρχομένοις ἐν τῷ κελλίῳ σου ἔλεγες· προσέχετε ἑαυτοῖς, ἀδελφοί, ὅτι κακὸν θηρίον ἐπεδήμησε τῇ πόλει ταύτῃ, καὶ πολλοὺς ἔχει βλάψαι τῇ διδασκαλίᾳ αὐτοῦ . . ." (Mansi T. IV, coll. 1259—1260).

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Λαοδικείας, Ἀπρίγγιον τὸν Χαλκίδος, Θεοδώρητον τὸν Κύρου, καὶ Ἑλλάδιον τὸν Πτολαιμαΐδος. Ἡ τοῖς πρέσβεσι τούτοις δοθεῖσα ἐντολὴ ἦν πολὺ γενική· ἐπετρέπετο αὐτοῖς, παραγενομένοις εἰς Κωνσταντινούπολιν, μὴ ὀκνῆσαι, εἰ χρεία γένοιτο ἢ συμβιβασμοῦ, ἢ εἰρήνης ἐκκλησιαστικῆς, ἢ ἑτέρου τινός ὑπογραφῆς χρῄζοντος, ποιῆσαι τοῦτο ὑπὲρ τοῦ λυσιτελοῦντος τῷ κοινῷ καὶ ὑπὲρ τῆς δόξης τοῦ Δεσπότου Χριστοῦ. Ἐξαιρέτως ὅμως ἐδόθη αὐτοῖς ἐντολὴ κατὰ τῶν τοῦ ἁγίου Κυρίλλου κεφαλαίων, ἅπερ ὤφειλον ἀπορρίψαι ὡς ἀλλότρια δῆθεν τῆς καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας.*[1])

§. 56. *Πρῶτος τῆς Ἐκκλησίας θρίαμβος ἐγένετο τότε ἡ ὑπὸ τοῦ αὐτοκράτορος, μετὰ τὸ ἀπελθεῖν ἐξ Ἐφέσου τοὺς πρέσβεις ἀμφοτέρων τῶν μερίδων, δοθεῖσα τῷ Νεστορίῳ διαταγὴ ἀπελθεῖν ὅποι ἂν αὐτῷ δοκῇ, ἐκτὸς τῆς Κωνσταντινουπόλεως. Κατὰ τὸν Εὐάγριον, „αὐτοῦ τε αὖ δεηθέντος, ἐπετράπη κατὰ τὸ οἰκεῖον ἐπαναζεῦξαι μοναστήριον, ὃ πρὸ τῶν πυλῶν τῆς νυνὶ Θεοπολιτῶν διάκειται, καὶ Νεστορίῳ μὲν ἐπὶ λέξεως οὐκ ὠνόμασται· φασὶ δὲ νῦν τὸ Εὐπρεπίου προσαγορεύεσθαι, ὅπερ ἴσμεν ταῖς ἀληθείαις πρὸ τῆς Θεοπολιτῶν διακείμενον, σταδίους διεστηκὸς οὐ πλείους δύο.“*[2]) *Ἡ ἐπιστολή, δι' ἧς ἐμήνυσεν αὐτῷ ὁ ἔπαρχος Ἀντιόχος τὴν τοῦ αὐτοκράτορος ἀπόφασιν, διεσώθη, ὡς καὶ ἡ ἀπόκρισις αὐτοῦ. Ἐν ταύτῃ δὲ λέγει, ὅτι οὐδὲν αὐτῷ τιμιώτερον τοῦ ὑπὲρ τῆς πίστεως διωχθῆναι καὶ παθεῖν· ἀξαιτεῖται δὲ μόνον τὴν δι' ἐπιστολῆς τοῦ αὐτοκράτορος καταδίκην τῶν δώδεκα τοῦ ἁγίου Κυρίλλου κεφαλαίων, ὡς δυναμένων, κατ' αὐτόν, πλανῆσαι τοὺς μήπω ἰσχυρῶς ἐπὶ τῆς πίστεως ἐρηρεισμένους.*[3])

§. 57. *Ἀφικόμενοι εἰς Χαλκηδόνα οἱ πρέσβεις ἀμφοτέρων τῶν μερίδων περὶ τὸ τέλος τοῦ μηνὸς Αὐγούστου, ἔλαβον τοῦ αὐτοκράτορος διαταγὴν μεῖναι αὐτόθι, φοβουμένου μὴ ἡ ἐν Κωνσταντινουπόλει παρουσία αὐτῶν γένηται πολλῶν ἀταξιῶν αἰτία. Οἱ Ἀνατολικοί, ἅμ' ἀφικόμενοι αὐτόσε, ἔμαθον, καθ' ἅπερ ἐπέστειλαν τοῖς ἐν Ἐφέσῳ ἑταίροις, τὴν τοῦ Νεστορίου ἀποπομπήν, ἐφ' ᾗ δὴ καὶ οὐ σμικρὸν ἐλυπήθησαν. „Γινωσκέτω*

1) Mansi T. IV, coll. 1400—1401.
2) *Ἐκκλ. ἱστορ. α,* 7.
3) Tillemont Art. LXXVIII p. 457—458 et LXXXIII p. 473—474, c. Not. 64 p. 776—777. Pagi Crit. ad a. 431 n. 38—40.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δέ ἡ ὑμετέρα ἁγιότης, προσεπιλέγουσιν οὗτοι, ἑτοίμους ἡμᾶς ὑπὲρ τῆς πίστεως ἀγωνίσασθαι μέχρι θανάτου. Προσδοκῶμεν δὲ σήμερον, τῇ ἑνδεκάτῃ τοῦ μηνὸς Γορπιαίου (τῇ δ' Σεπτεμβρίου) τὸν εὐσεβέστατον ἡμῶν βασιλέα ἐν τοῖς τοῦ Ῥουφιανοῦ, τῆς ὑποθέσεως ἀκροάσασθαι. Δεέσθω τοίνυν ἡ ὑμετέρα ἁγιότης, ἵνα ὁ Κύριος Ἰησοῦς Χριστὸς βοηθήσῃ ἡμῖν ἰσχῦσαι τὴν τῶν ἁγίων Πατέρων πίστιν στερεῶσαι καὶ τὰ εἰς βλάβην τῆς ἁγίας ἐκκλησίας ἀναφυέντα κεφάλαια πρόρριζα διασπάσαι. Τὰ αὐτὰ καὶ τὴν ὑμετέραν ἁγιότητα καὶ φρονεῖν καὶ ποιεῖν ἀντιβολοῦμεν, καὶ μένειν ἐν τῇ ἑαυτῶν ὑπὲρ τῆς ὀρθοδόξου πίστεως προθυμίᾳ. Τῆς ἐπιστολῆς γραφείσης, οὔπω ἀφίκετο πρὸς ἡμᾶς ὁ κύριος Ἱμέριος· ἴσως δ' ἐκωλύθη ἐν τῇ ὁδῷ. Οὐδὲν ἕτερον ταρασσέτω ὑμᾶς. Ἐλπίζομεν γὰρ ἐκλιπεῖν τὰ ἀνιαρὰ καὶ τὴν ἀλήθειαν ἀναλάμψαι, ἥνπερ ἡ ὑμετέρα εὐσέβεια ἐνεργῶς βοηθήσῃ ἡμῖν."[1])

§. 58. Ὁ αὐτοκράτωρ ἀφίκετο εἰς Χαλκηδόνα τῇ δ' Σεπτεμβρίου, καὶ μετ' εὐμενείας ἠκροάσατο ἀμφοτέρων τῶν μερίδων. Οἱ Ἀνατολικοί, γράφει ὁ μακάριος Θεοδώρητος Ἀλεξάνδρῳ τῷ Ἱεραπόλεως, ἐσπούδασαν παντὶ σθένει διεγεῖραι τὸν αὐτοκράτορα καὶ τὸ ἔνδοξον συνέδριον (consistorium) μὴ συγχωρῆσαι καταφρονεῖσθαι τὴν πίστιν, μοιχευομένην ὑπὸ τῶν αἱρετικὰ δόγματα ἀποδεξαμένων καὶ ταῦτα ὑπογράψαι τολμησάντων.[2]) Οὗτοι ἐνόμισαν τὸ πρῶτον ὅτι ἐκράτησαν τοῦ ἀγῶνος· κατηγόρησαν τοῦ Μελιτηνῆς ἐπισκόπου Ἀκακίου, ὡς εἰπόντος ποτέ, ὅτι ἡ Θεότης ἐστὶ παθητή· ἀλλ' οὗτος πάνυ εὐχερῶς ἀνεσκεύασε τὴν κατηγορίαν ταύτην, ὡς καὶ τὰς λοιπὰς τῶν Ἀνατολικῶν ἐνστάσεις, ὅτι δηλ. οἱ ἐπίσκοποι τῆς Συνόδου, λειτουργήσαντες μετὰ τὸ ὑπ' αὐτῶν ἀκοινωνήτους γενέσθαι, καὶ τῷ ἁγίῳ Κυρίλλῳ κοινωνήσαντες μετὰ τὸ καθαιρεθῆναι αὐτὸν ὑπ' αὐτῶν, ἦσαν καὶ αὐτοὶ καθῃρημένοι καὶ ἐστερημένοι τῆς ἐπισκοπῆς. Εἶπον ἐπὶ πλέον· ὅτι, ἐὰν ἐκλεχθῇ ὑπὸ τῶν ἐπισκόπων τῆς Συνόδου νέος ἐπίσκοπος Κωνσταντινουπόλεως, τὴν ἐκλογὴν αὐτοῦ θεωρήσουσιν ἄκυρον καὶ παράνομον. Οἱ δὲ ὀρθόδοξοι παρεκάλεσαν τὸν αὐτοκράτορα μεταπέμψασθαι τὸν ἅγιον Κύ-

---

1) Ἡ ἐπιστολὴ αὕτη διεσώθη μόνον λατινιστὶ ap. Mansi T. IV, coll. 1406, et in Synod. adv. trag. Irenaei c. 26, T. V. Mansi coll. 794.

2) Ἡ ἐπιστολὴ αὕτη διεσώθη ἐπ' ἴσης μόνον λατινιστὶ ap. Mansi T. IV, p. 1407, et in Synod. adv. trag. Irenaei c. 30, T. V, p. 799 seq.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ριλλον, ὅπως αὐτὸς ὑπὲρ ἑαυτοῦ ἀπολογήσηται. *Αἰτησαμένων δὲ τῶν Ἀνατολικῶν ὁρισθῆναι τὴν πίστιν, προσέταξεν ὁ αὐτοκράτωρ ποιήσασθαι ἑκατέραν τῶν μερίδων τὴν τῆς ἑαυτῆς πίστεως ὁμολογίαν καὶ ἐγχειρίσαι αὐτῷ ταύτην. Εἶπον δὲ οἱ Ἀνατολικοὶ ἀδύνατον αὐτοῖς εἶναι ποιήσασθαι ἑτέραν τῆς ὑπὸ τῆς ἐν Νικαίᾳ Συνόδου ὁρισθείσης. Δεκτῆς γενομένης τῆς γνώμης ταύτης ὑπὸ τοῦ αὐτοκράτορος, ἀπέστειλαν οὗτοι πρὸς τοὺς ἐν Ἐφέσῳ ὁμόφρονας ὅπερ ἐκόμισαν ἐκεῖθεν ἀντίγραφον τῆς πίστεως, παρακαλοῦντες ἀποστεῖλαι αὐτοῖς δύο νέα τούτου ὑπογεγραμμένα ἀντίγραφα. Οἱ ἐν Ἐφέσῳ ὁμόφρονες προθύμως τῇ ἐντολῇ ταύτῃ ὑπήκουσαν, καὶ σύναμα ἔγραψαν τῷ αὐτοκράτορι ἐπιστολήν, δι' ἧς εὐχαρίστουν αὐτῷ ἐπὶ τῇ πρὸς τοὺς ἰδίους πρέσβεις γενομένῃ ὑπ' αὐτοῦ εὐμενεῖ ὑποδοχῇ, καὶ κατῴκτειρον τὴν τοῦ Νεστορίου καθαίρησιν, λέγοντες ὅτι δι' αὐτῆς ἐπικυροῦνται οἱ τοῦ Κυρίλλου δώδεκα ἀναθεματισμοί. Ἀπέστειλαν δὲ ἐπ' ἴσης τοῖς ἑαυτῶν πρέσβεσι καὶ τὴν ἐν Ἐφέσῳ κατ' αἴτησιν τῆς Συνόδου γενομένην ὑπὸ τοῦ ἁγίου Κυρίλλου τῶν ἀναθεματισμῶν τούτων ἔκθεσιν. Μετὰ τὴν πρώτην ἀκρόασιν ἔσχον χώραν τέσσαρες ἔτι, καθ' ἃς οἱ Ἀνατολικοὶ κατεδίκαζον ἀεὶ τοὺς τοῦ θεσπεσίου Κυρίλλου ἀναθεματισμούς, ἐνόρκως πολλάκις διατεινόμενοι ὅτι οὐδαμῶς ἔμελλον κοινωνῆσαι τοῖς τοῦ θείου τούτου Διδασκάλου ἐπισκόποις, μὴ πρότερον ἀπορρίψασιν αὐτούς, καὶ ὅτι οὐδέποτε ἔμελλον διαλλαγήσεσθαι πρός τε αὐτὸν καὶ τὸν Μέμνονα, οὓς ἀρχηγοὺς αἱρέσεως τελείως ἀσεβοῦς ὑπελάμβανον. Ἐν τῇ προμνημονευθείσῃ πρὸς Ἀλέξανδρον τὸν Ἱεραπόλεως ἐπιστολῇ μνημονεύει ὁ μακάριος Θεοδώρητος τῶν διαμειφθέντων ἐν αὐτοῖς πρὸς τὸν αὐτοκράτορα ὧδε: „Ἔμαθον, ὅτι ποιεῖσθε παρανόμους συνελεύσεις. Ἐγὼ ἀπεκρινάμην αὐτῷ· ἐπειδὴ ἔδωκάς μοι τὴν τοῦ ὁμιλῆσαι ἐλευθερίαν, ἄκουσον μετ' ἐπιεικείας. Ἔστιν ἆρά γε δίκαιον τοὺς μὲν ἀκοινωτήτους τούτους, κατακριθέντας, ἐπ' ἀδείας ἔχειν καθ' ἣν ἂν θέλωσιν ἐκκλησίαν ἐλευθέρας τὰς συνάξεις ἐπιτελεῖν, ἡμᾶς δὲ τοὺς ὑπὲρ τῆς πίστεως ἀγωνιζομένους καὶ ἐκ τούτου οὐδὲ κοινωνεῖν αὐτοῖς ἀξιοῦντας ἔξω τῶν ἱερῶν ἀνακτόρων ἀπείργεσθαι; Ὁ δὲ ὑπέλαβε, τί μοι οὖν ποιητέον; Κἀγὼ εἶπον αὐτῷ, ὅ,τι καὶ Ἰωάννης ὁ κόμης ἐν Ἐφέσῳ ἐποίησεν. Ὁρῶν γάρ, ἔφην, ἐκείνους μὲν συναγειρομένους, ἡμᾶς δ' οὔ, ἐκώλυσεν αὐτούς, εἰπών, ἐὰν*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*μὴ γένησθε εἰρηνικοί, οὐδετέρᾳ τῶν μερίδων ἐπιτρέψω συναγείρεσθαι. Ἐχρῆν ἄρα τὴν σὴν εὐσέβειαν ἐπιτάξαι τῷ ἐπισκόπῳ ταύτης τῆς πόλεως, μήτ᾽ ἐκείνοις, μήθ᾽ ἡμῖν ἐπιτρέπειν συναγείρεσθαι, ἕως ἂν ὁμονοήσωμεν, ἵνα δικαία γνωσθῇ ἡ σὴ ἀπόφασις ἅπασι. Πρὸς ταῦτα δ᾽ ἐκεῖνος ὑπέλαβεν, ἔγωγε ἐπιτάττειν ἐπισκόπῳ οὐ δύναμαι. — Ἐντεῦθεν οὖν ἀπεκρινάμην κἀγώ: Μὴ οὖν ἐπίταττε μηδὲ ἡμῖν, καὶ ληψόμεθα ἐκκλησίαν, καὶ συναγερούμεθα· καὶ μαθέτω ἡ σὴ εὐσέβεια, ὅτι πολλῷ πλείους εἰσὶν οἱ μεθ᾽ ἡμῶν ὄντες, ἢ οἱ μετ᾽ ἐκείνων. Πρὸς δὲ ταύτοις εἴπομεν αὐτῷ, ἡ ἡμετέρα συνάθροισις οὔτ᾽ ἀνάγνωσιν τῶν ἱερῶν Γραφῶν εἶχεν, οὔτε προσφοράν, μόνον δὲ δεήσεις ὑπὲρ τῆς πίστεως καὶ τῆς ὑμετέρας Μεγαλειότητος, καὶ θρησκευτικὰς ὁμιλίας. Συνήνεσεν οὖν, καὶ τοῦ λοιποῦ τοῦτο οὐκ ἐκώλυσε γίγνεσθαι“.*

§. 59. *Ἕκτην τῶν Ἀνατολικῶν ἀναμενόντων ἀκρόασιν, ὁ αὐτοκράτωρ ἐπανῆλθεν εἰς Κωνσταντινούπολιν, ἀφεὶς αὐτοὺς ἐν Χαλκηδόνι, καὶ ἐντειλάμενος τοῖς τῶν ὀρθοδόξων πρέσβεσιν ἐλθεῖν εἰς τὴν πρωτεύουσαν πρὸς ἐκλογὴν νέου ἐπισκόπου ἀντὶ τοῦ Νεστορίου. Λίαν λυπηθέντες ἐπὶ τούτῳ οἱ Ἀνατολικοὶ ἐπέστειλαν τῷ αὐτοκράτορι, πικρῶς ἐπὶ τοῖς γενομένοις δεινολογούμενοι, καὶ θερμῶς ἱκετεύοντες ἐπιτάξαι μὴ γενέσθαι τὴν χειροθεσίαν πρὶν ἢ ἡ ὀρθόδοξος πίστις διατυπωθῇ, ἧς χάριν συνήγαγεν αὐτοὺς ἡ φιλόχριστος αὐτοῦ Μεγαλειότης.*[1])

§. 60. *Οἱ αὐτοὶ ἔγραψαν ἐν ταὐτῷ μακρὰν πρὸς Ῥοῦφον τὸν Θεσσαλονίκης ἐπιστολήν, σπουδάζοντες προσεταιρίσασθαι αὐτόν. Τὴν ἐπιστολὴν δὲ ταύτην ἔγραψαν, μεμαθηκότες, ὡς λέγουσι, τὸν σκοπὸν αὐτοῦ ἐξ ὧν πρὸς τὸν Σαρδικῆς ἐπίσκοπον Ἰουλιανὸν ἔπεμψεν ἐπιστολῶν, ἐν αἷς ἐδήλου ὅτι οὗτος ὤφειλεν „συναγωνίσασθαι τῇ ἐκτεθείσῃ πίστει ὑπὸ τῶν μακαρίων πατέρων τῶν ἐν Νικαίᾳ συναθροισθέντων, καὶ μὴ συγχωρῆσαι μῶμον ἐκείνοις τοῖς ἀρραγέσι ῥήμασιν ἐπεισαχθῆναι, ἀρκοῦσι καὶ τὴν ἀλήθειαν δεῖξαι καὶ τὸ ψεῦδος ἐλέγξαι.“ Ἐν τῇ ἐπιστολῇ ταύτῃ καθάπτονται πικρῶς τοῦ ἁγίου Κυρίλλου, λέγοντες πρὸς πολλοῖς ἄλλοις, ὅτι τὰ δώδεκα αὐτοῦ κεφάλαια γέμουσι τῆς Ἀπολιναρίου κακοδοξίας. Λέγουσιν*

1) *Καὶ ἡ ἐπιστολὴ αὕτη εὕρηται μόνον λατινιστὶ* ap. Mansi T. IV, coll. 1403 seq. et in Synod. adv. trag. Irenaei c. 34.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*ὅτι διατελοῦσιν ἀγωνιζόμενοι ὑπὲρ τῆς ἐν Νικαίᾳ ὁρισθείσης πίστεως, πάντων ὁμοῦ τῶν κατὰ τὸν βίον τερπνῶν τε καὶ λυπηρῶν καταφρονοῦντες, ὥστε ἀνέπαφον διαφυλαχθῆναι τὸν πατρῷον τοῦτον κλῆρον· Διϊσχυρίζονται ὅτι ὁ ἅγιος Κύριλλος καὶ ὁ Μέμνων οὐ μόνον τὴν ὀρθόδοξον πίστιν ἐλυμήναντο, ἀλλὰ καὶ πάντας τοὺς κανόνας κατεπάτησαν, ἀναδεξάμενοι εἰς κοινωνίαν τοὺς ἀπὸ παντοίων ἐπαρχιῶν καὶ διοικήσεων ἀκοινωνήτους γενομένους, ὡς καὶ τοὺς ἐπὶ αἱρέσει ἐγκαλουμένους, καὶ τὰ αὐτα φρονοῦντας Κελεστίνῳ καὶ Πελαγίῳ. „Παρακλήθητι τοίνυν, ἐπιλέγουσι, δέσποτα ἁγιώτατε, τὴν μὲν κοινωνίαν τῶν ταῦτα τετολμηκότων, καὶ τὴν αἵρεσιν ταύτην εἰςαγαγόντων φυλάξασθαι· γνωρίσαι δὲ πᾶσι καὶ τοῖς ἐγγὺς καὶ τοῖς μακρὰν, ὡς ταῦτά ἐστι τὰ κεφάλαια, ἐφ' οἷς ὁ τριςμακάριος Δάμασος καθεῖλεν Ἀπολινάριον, καὶ Βιτάλιον, καὶ Τιμόθεον τοὺς αἱρετικούς, καὶ ὅτι οὐ χρὴ τῇ ἐκπεμφθείσῃ ἐπιστολῇ παρ' αὐτοῦ ἁπλῶς προσέχειν, ἐν ᾗ τὸ μὲν αἱρετικὸν συνεσκίασε φρόνημα, τῷ δὲ τῆς εὐσεβείας αὐτὴν κατέχρωσε δόγματι. Ἐν μὲν γὰρ τοῖς κεφαλαίος σφόδρα αὐτοῦ τὴν ἀσέβειαν ἐγύμνωσεν, ἔνθα καὶ ἀναθεματίσαι τοὺς μὴ οὕτω φρονοῦντας ἐτόλμησεν, ἐν δὲ τῇ ἐπιστολῇ βλάψαι πανούργως τοὺς ἁπλουστέρους ἐπεχείρησε . . .*[1])

§. 61. *Οὐδεμιᾶς ἀξιώσας ὁ αὐτοκράτωρ προσοχῆς τὰς τῶν Ἀνατολικῶν διαμαρτυρίας, ἔπεμψε γράμματα πρὸς τὴν ἐν Ἐφέσῳ ἁγίαν Σύνοδον, πάντας μὲν τοὺς ἐπισκόπους εἰς τὰ ἴδια ἀπολύοντα, τοὺς δὲ ἁγιωτάτους Κύριλλον καὶ Μέμνονα ταῖς ἰδίαις ἐκκλησίαις ἀποκαθιστάντα. Ἔχουσι δὲ τὰ ὑπ' αὐτοῦ γεγραμμένα ὧδε: Ἡμεῖς τὴν τῶν ἐκκλησιῶν εἰρήνην ἁπάσης ἄλλης ἀσχολίας προτιμήσαντες, οὐ μόνον διὰ τῶν ἡμετέρων ἀρχόντων, ἀλλὰ καὶ δι' ἑαυτῶν συναγαγεῖν ὑμᾶς ἐβουλήθημεν, ἀσεβὲς εἶναι καὶ ἀνάξιον τῆς ἡμετέρας βασιλείας πιστεύσαντες τό, ῥᾳθυμούντων ἡμῶν καὶ μὴ πάντα ὅσα ἐνδέχεται ποιούντων, διαιρεθῆναι τὰς ἐκκλησίας. Ἐπειδὴ δὲ οὔτε ἑνωθῆναι ὑμᾶς γεγένηται δυνατὸν, οὔτε εἰς τοὺς λόγους τοὺς περὶ ἀμφισβητουμένων ἐλθεῖν ἠθέλησεν ἡ ὑμετέρα εὐλάβεια, τετυπώκαμεν τοὺς ἀνατολικοὺς ἐπισκόπους ἀπελθεῖν εἰς τὰς ἑαυτῶν πατρίδας καὶ τὰς ἐκκλησίας, καὶ τὴν σύνοδον διαλυθῆναι τὴν ἐν*

---

1) Mansi T. IV, coll. 1411 seq.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐφέσῳ, ἔτι τὸν Κύριλλον εἰσελθεῖν ἐν Ἀλεξανδρείᾳ, καὶ Μέμνονα μεῖναι ἐν Ἐφέσῳ. Τοσοῦτον γὰρ δηλοῦμεν τῇ ὑμετέρᾳ θεοσεβείᾳ, ὅτι ἕως ὅτε ζῶμεν, καταγνῶναι τῶν Ἀνατολικῶν οὐ δυνάμεθα. Οὐδὲν γὰρ ἐπὶ ἡμῶν ἠλέγχθησαν, οὐδενὸς αὐτοῖς συζητῆσαι θελήσαντος. Εἰ οὖν ἐστι σκοπὸς εἰρήνης, ἑλόμενοι ταύτην ἀφιλονείκως, γνωρίσατε ἡμῖν. Εἰ δὲ μήγε, εὐθέως πρὸς ἃ γράφομεν τῆς ἐκδημίας φροντίσατε· οὐχ ἡμῶν ὄντων αἰτίων, ἀλλὰ τοῦ Θεοῦ τοὺς αἰτίους γινώσκοντος.“[1])

§. 62. Μαθόντες οἱ Ἀνατολικοὶ τῶν γραμματων τούτων τὴν σύνταξιν, οὐδεμίαν ἔτι εἶχον ἐλπίδα περὶ τῆς ἀποστολῆς αὐτῶν. Ἔγραψαν δὲ τρίτην πρὸς τὸν αὐτοκράτορα ἐπιστολήν, πλήρη μομφῶν καὶ διαμαρτυριῶν. „Μὴ καταφρονείτω, λέγουσιν αὐτῷ, ἡ ὑμετέρα Μεγαλειότης τῆς πίστεως μοιχευομένης, εἰς ἥνπερ καὶ ὑμεῖς ἐβαπτίσθητε καὶ οἱ ὑμέτεροι πρόγονοι, καὶ ἐφ' ἧςπερ τὰ θεμέλια τῆς ἐκκλησίας ἑδράζονται· ὑπὲρ ἧς οἱ ἁγιώτατοι μάρτυρες ἀναρίθμητα θανάτου εἴδη χαίροντες ἀνεδέξαντο· μεθ' ἧς καὶ τοὺς βαρβάρους ἐνίκησας, καὶ τοὺς τυράννους κατέστρεψας·.. Ταῦτα πολλάκις ἐνώπιον τοῦ Θεοῦ, καὶ ἐν Ἐφέσῳ, καὶ ἐνταῦθα,.ἐμαρτυρήσαμεν, καὶ τὴν ὑμετέραν εὐσέβειαν ἐδιδάξαμεν, ἀποδιδόντες ἐνώπιον ὑμῶν λόγον περὶ τούτου, ὡς ἐνώπιον αὐτοῦ τοῦ Θεοῦ. Αὐτὸς γὰρ κελεύει τοῦτο ἡμῖν, ὡς αἱ θεῖαι Γραφαί, προφητικαί τε καὶ ἀποστολικαί, διδάσκουσι.. Φοβούμενοι τοίνυν τὴν κρίσιν ταύτην, ἀναγκαῖον ἡγησάμεθα διδάξαι αὖθις τὴν ὑμετέραν Μεγαλειότητα, ὅτι οἱ ἐπιτραπέντες ἔχειν τὰς ἐκκλησίας, διδάσκουσιν ἐν ταῖς ἐκκλησίαις ἃ ὁ Ἀπολινάριος, καὶ ὁ Ἄρειος, καὶ ὁ Εὐνόμιος· παρανόμως καὶ παρὰ τοὺς κανόνας ἐπιτελοῦσι τὴν ἱερωσύνην, καὶ ἀποκτείνουσι τὰς ψυχὰς τῶν προσερχομένων αὐτοῖς... Ἐὰν δὲ καὶ μετὰ τὴν δέησιν ταύτην, τὴν ἐνώπιον Θεοῦ δοθεῖσαν, μηδὲν λάβῃ μέτρον ἡ ὑμετέρα εὐσέβεια, ἐκτινάσσομεν τὴν κόνιν τῶν ποδῶν, καὶ κράζομεν μετὰ τοῦ μακαρίου Παύλου: καθαροί ἐσμεν ἀπὸ τοῦ αἵματος ὑμῶν (Πράξ. ιη, 6). Ἀφ' ἧς γὰρ ἡμέρας ἀφικόμεθα εἰς τὴν περίφημον ταύτην σύνοδον, οὔτε ἡμέρας οὔτε νυκτὸς παυόμεθα μαρτυρεῖν περὶ τούτου, ἐνώπιον τοῦ τε αὐτοκράτορος καὶ τῶν ἀρχῶν καὶ τῶν στρατιωτῶν καὶ τῶν

1) Mansi T. IV, coll. 1465.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*ἱερέων καὶ τοῦ λαοῦ, ἵνα μὴ τὴν ὑπὸ τῶν Πατέρων παραδοθεῖσαν ἡμῖν πίστιν ἀφῶμεν".*[1])

§. 63. *Οἱ αὐτοὶ ἔγραψαν ἐπ' ἴσης πρὸς τοὺς ἐν Ἐφέσῳ ὁμόφρονας ἐπιστολὴν, ἐν ᾗ λέγουσιν, ὅτι ἠκροάσατο αὐτῶν πεντάκις ὁ αὐτοκράτωρ, ὅτι ἅπασαι αἱ προσπάθειαι αὐτῶν ἀπέβησαν μάταιαι, καὶ ὅτι διὰ τῶν εὐχῶν αὐτῶν εἰσιν ἕτοιμοι ἀντιστῆναι μέχρι θανάτου, οὔτε τὸν Κύριλλον αὐτὸν ἀνεχόμενοι, οὔτε τὰ ὑπ' αὐτοῦ ἐκτεθέντα κεφάλαια, οὔτε κοινωνῆσαι ἐκείνοις, πρὶν ἢ ἐκβληθῶσι τὰ κακῶς τῇ πίστει ἐκτεθέντα, βουλόμενοι. Λέγουσιν ὅτι ἐσπούδασαν ποιήσασθαι λόγον περὶ τοῦ Νεστορίου, ἀλλ' οὐκ ἠδυνήθησαν, ἁπάντων οὐδὲ τὸ ὄνομα αὐτοῦ ἀκοῦσαι ἀνεχομένων. Δεινολογοῦνται κατὰ τῆς τῶν περὶ τὸν Κύριλλον τυραννίας, ἐξαπατησάντων κατ' αὐτοὺς ἅπαντας δόλοις καὶ κολακείᾳ καὶ δώροις. „Μετὰ πολλὰς παρακλήσεις, λέγουσιν ἐν τῷ τέλει τῆς ἐπιστολῆς, εὐδόκησεν ὁ εὐσεβέστατος αὐτοκράτωρ προστάξαι ἐπανελθεῖν ἕκαστον ἡμῶν οἴκαδε, τὸν δὲ Αἰγύπτιον (Κύριλλον) καὶ Μέμνονα τὸν Ἐφέσιον μένειν ἐν τῇ ἑαυτῶν ἀρχῇ. Ὁ γὰρ Αἰγύπτιος οὕτω τυφλῶσαι πάντας κατίσχυσεν, ὥςτε, καὶ μετὰ τὸ προξενῆσαι ἀπείρους συμφορὰς, εἰς τὸν θρόνον αὐτοῦ ἐπανέρχεσθαι· ὁ δὲ ἀθῷος ἀνὴρ (ὁ Νεστόριος) ἀποπέμπεται εἰς τὸν τῆς μονῆς αὐτοῦ τόπον. Ἀσπαζόμεθα ἅπαντας τοὺς σὺν ὑμῖν ἀδελφοὺς ἡμεῖς τε καὶ οἱ σὺν ἡμῖν ἅπαντες."*[2]) *Τοιοῦτον ὑπῆρξε τὸ τέλος τῆς ἐν Ἐφέσῳ συστάσης τρίτης ἁγίας καὶ οἰκουμενικῆς Συνόδου.*

§. 64. *Πρὶν ἢ ἀπέλθῃ ἐξ Ἐφέσου ὁ μέγας τῆς ἀληθείας πρόμαχος Κύριλλος, ἐξεφώνησεν ἐν τῷ ναῷ τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου, παρόντων πολλῶν ἐπισκόπων, λαμπρὸν εἰς τὴν ὑπεραγίαν καὶ παναμώμητον Παρθένον Μαρίαν ἐγκώμιον, ὑπὲρ ἧς τῆς δόξης ὑπερμαχῶν τοσαῦτα ὑπέμεινε καὶ οὕτω γενναίως καὶ εὐσταθῶς κατὰ τοῦ Νεστορίου καὶ τῶν ὁμοφρόνων αὐτῷ ἠγωνίσατο. Τοῦ ἐγκωμίου τούτου ἡ ἀρχὴ ἐστὶ προσφώνησις εἰς τὴν τῶν Ἐφεσίων πόλιν, καὶ εἰς τὸν ταύτης προςτάτην, τὸν ἅγιον Ἰωάννην τὸν Εὐαγγελιστήν. Ἐν ἑκάστῃ*

---

1) Mansi T. IV, coll. 1405—1406. Synod. adversus tragoediam Irenaei c. 30, T. V, coll. 799—800. *Καὶ ἡ ἐπιστολὴ αὕτη διεσώθη μόνον λατινιστί.*

2) In Synod. adv. tragoediam Irenaei c. 27 p. 795. *Καὶ ἡ ἐπιστολὴ αὕτη διεσώθη μόνον λατινιστί.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δὲ σχεδὸν φράσει ὀνομάζει Θεοτόκον τὴν Παναγίαν Παρθένον.[1])

§. 65. Ο θεσπέσιος Κύριλλος ἀφίκετο τῇ λ' Ὀκτωβρίου εἰς Ἀλεξάνδρειαν, ἧς ὁ εὐσεβὴς λαὸς μετ' ἄκρας χαρᾶς καὶ ἐν θριάμβῳ, ὡς εἰπεῖν, ὑπεδέξατο αὐτόν. Ἅμα τῇ εἰς τὴν πόλιν ταύτην ἀφίξει αὐτοῦ ἔγνω γράψαι ὑπὲρ ἑαυτοῦ λόγον ἀπολογητικὸν πρὸς τὸν αὐτοκράτορα Θεοδόσιον, μεμψάμενον αὐτῷ ἐν τῇ ἐπιστολῇ ἐκείνῃ, δι' ἧς προσεκάλει αὐτὸν εἰς τὴν Σύνοδον τῆς Ἐφέσου, οὐ μόνον ἐπὶ τῷ ὅτι ἦν, κατ' αὐτόν, αἴτιος τῶν ταραχῶν τῆς ἐκκλησίας, ἀλλὰ καὶ ἐπὶ τῷ ὅτι ἠβουλήθη ἐνσπεῖραι δῆθεν διχονοίας ἐν τῷ αὐτοκρατορικῷ οἴκῳ, ἐπιστείλας οὐχὶ μόνῳ τῷ αὐτοκράτορι, ἀλλὰ καὶ τῇ συζύγῳ καὶ ταῖς ἀδελφαῖς αὐτοῦ. Ἐν τῷ ἀπολογητικῷ τούτῳ διαβεβαιοῦται ὁ θεῖος Πατὴρ ὅτι ἔγραψεν αὐτῷ τε καὶ τῇ συζύγῳ καὶ ταῖς ἀδελφαῖς αὐτοῦ, οὐχ ἵνα θόρυβον ἢ διχόνοιαν ἐμβάλῃ, ἀλλ' ἵνα ἐκπληρώσῃ τὰ καθήκοντα ἐπισκόπου, ὀφείλοντος στηρίζειν ἐν τῇ εἰς Χριστὸν πίστει τοὺς δεξαμένους αὐτήν. Προσεπιλέγει δὲ ὅτι ὁ κύριος αἴτιος τῆς ἐν τῇ Συνόδῳ τῆς Ἐφέσου διαιρέσεως ἦν ὁ Ἀντιοχείας Ἰωάννης, καὶ πρὸς ἀπόδειξιν τούτου ἀφηγεῖται διὰ βραχέων τὴν ἱστορίαν τῶν ἐν τῇ Συνόδῳ ταύτῃ πεπραγμένων.[2])

§. 66. Κατὰ τὸν αὐτὸν σχεδὸν χρόνον ἐξελέγη ὁ Μαξιμιανὸς[3]) ἐπίσκοπος Κωνσταντινουπόλεως ἀντὶ τοῦ Νεστορίου,

---

5) Ὀρθῶς ἐνορᾷ ὁ κλεινὸς Tillemont (Art. LXXXVIII p. 486), ὅτι ἡ ὁμιλία αὕτη ἐστὶ πάνυ ὁμοία τῇ ἀναφορικῶς πρὸς τὸν Νεστόριον ἐκφωνηθείσῃ ὅτε κατῆλθον οἱ ἑπτὰ πρὸς τὴν ἁγίαν Μαρίαν, ὡς εἴρηται πρότερον. Ὁ συγγραφεὺς τῶν οἴκων τοῦ ἀκαθίστου ὕμνου εἰς τὴν ὑπεραγίαν Θεοτόκον ἐμιμήσατο ἐκτὸς πολλῶν ἄλλων συγγραμμάτων τῶν ἁγίων τῆς ἐκκλησίας Πατέρων καὶ τὸ ἐγκώμιον τοῦτο τοῦ ἁγίου Κυρίλλου.

6) Ὁ ἀπολογητικὸς οὗτος εὕρηται ἐν τῷ θ'. τόμῳ τῆς ὑπὸ τοῦ Μιγνίου ἐκδόσεως τῶν ἁπάντων τοῦ ἁγίου Κυρίλλου, καὶ ἐν τοῖς Πρακτ. τῆς ἐν Ἐφεσ. Συν. Mansi T. V, coll. 225—256. Πρβλ. Tillemont Art. XCIV p. 501—502. S. Garner. in Opp. Marii Mercatoris P. 11 p. 352. Ceillier Art. II §. VI. 11, n. 4, p. 343—344.

7) Ὁ Μαξιμιανὸς ὑπῆρξε μαθητὴς τοῦ θείου Χρυσοστόμου. Κατὰ Νικηφόρον τὸν Κάλλιστον (ἐκκλ. ἱστ. βιβλ. ιδ, 37), „τῷ χορῷ μὲν τῶν πρεσβυτέρων κατείλεκτο, ἀσκητικῷ δὲ βίῳ ἐχρήσατο, εὐλαβείας δὲ μεγίστης ὄνομα περιέκειτο.“ „οἰκείοις δὲ ἀναλώμασι, λέγει ὁ αὐτός, κατεσκευακὼς (μνημεῖα) ἐν αὐτοῖς κατετίθει τὰ τῶν εὐλαβῶν τελευτώντων λείψανα. Ἰδιώτης δὲ ὢν τὸν λόγον, ἀπραγμονέστερον βίον ᾑρεῖτο· διὸ καὶ ἡ ἐκκλησία ἐπὶ τούτου βαθείας εἰρήνης ἀπήλαυσε, τῶν ἔξωθεν ἠρεμησάσα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

προταθεὶς ὑπὸ τῶν ὀρθοδόξων ἐπισκόπων, τῶν ἀποσταλέντων ὑπὸ τῆς ἐν Ἐφέσῳ ἁγίας Συνόδου εἰς τὴν πρωτεύουσαν, καὶ πρὸς τοῦτο διατριβόντων ἐν αὐτῇ.[1]) Τὴν ἐκλογὴν αὐτοῦ ἤγγειλεν ὁ Μαξιμιανὸς τῷ ἁγίῳ Κυρίλλῳ διὰ λαμπρᾶς ἐπιστολῆς, ἐν ᾗ ἐνθέρμως ἐγκωμιάζει τὸν ἱερὸν ὁμολογητήν. „Πεπλήρωταί σοι, λέγει, τὰ τῆς ἐπιθυμίας, θεοφιλέστατε. Ἤνυσταί σοι ὁ ὑπὲρ τῆς εὐσεβείας σκοπός· εἰς πέρας ἐλήλυθεν ὁ ὑπὲρ εὐσεβείας πόθος· θέατρον ἐγένου καὶ ἀγγέλοις καὶ ἀνθρώποις καὶ πᾶσι τοῖς τοῦ Χριστοῦ ἱερεῦσιν. Οὐ μόνον ἐπίστευσας εἰς Χριστόν, ἀλλὰ γὰρ καὶ ὑπὲρ αὐτοῦ ἔπαθες. Μόνος ἄξιος ἐκρίθης τῶν τοῦ Χριστοῦ παθημάτων, καταξιωθεὶς τὰ στίγματα αὐτοῦ ἐν τῷ ἰδίῳ σώματι βαστάσαι. Ὡμολόγησας αὐτὸν ἔμπροσθεν τῶν ἀνθρώπων· ὡμολογήθης παρ' αὐτοῦ ἔμπροσθεν τοῦ Πατρὸς ἐπὶ τῶν ἁγίων ἀγγέλων. Ἀνεδήσω τοὺς ὑπὲρ τῆς εὐσεβείας στεφάνους· πάντα ἴσχυσας ἐν τῷ ἐνδυναμοῦντί σε Χριστῷ· ἐταπείνωσας τὸν σατανᾶν διὰ τῆς ὑπομονῆς, κατεγέλασας κολαστηρίων· ἐπάτησας θυμὸν ἀρχόντων· λιμοῦ κατεφρόνησας. Ἔσχες γὰρ τὸν ἄρτον τὸν ἐκ τοῦ οὐρανοῦ κατελθόντα, καὶ ζωὴν δεδωκότα τοῖς ἀνθρώποις τὴν ἄνωθεν.“ Παρακαλεῖ δὲ τὸν ἅγ. Κύριλλον βοηθεῖν αὐτῷ εὐχαῖς, καὶ στοιχεῖν συμβουλαῖς, καὶ πάσῃ περὶ αὐτὸν χρῆσθαι εὐνοίᾳ. Ἐν τῇ εἰς τὴν ἐπιστολὴν ταύτην ἀποκρίσει αὐτοῦ πραγματεύεται ὁ ἅγιος Κύριλλος κατ' ἐξοχὴν τὸ περὶ τῆς Ἐνανθρωπήσεως μυστήριον διὰ πολλῶν τῆς ἁγίας Γραφῆς χωρίων ἀποδεικνὺς τὴν ἕνωσιν τῶν δύο φύσεων ἄνευ τροπῆς, ἄνευ ἀλλοιώσεως, ἄνευ τῆς θρυλουμένης ἀναχύσεως, ἄνευ φυρμοῦ, ἄνευ μεταστάσεως. Καταδικάζει τὴν αἵρεσιν τοῦ Ἀπολιναρίου, τοῦ Ἀρείου, καὶ τοῦ Εὐνομίου, οὓς καὶ ἀναθεματίζει, καὶ σὺν αὐτοῖς τὸν Νεστόριον. Συνήδεται τῷ λαῷ τῆς Κωνσταντινουπόλεως τοιούτου ἱεροῦ ποιμένος ἀξιωθέντι. Κατὰ τὸν αὐτὸν δὲ χρόνον

---

σάλων.“ Ὁ ἅγιος Κελεστῖνος ἐν τῇ πρὸς αὐτὸν ἐπιστολῇ γράφει: „Εἴδομεν καὶ ἠσπασάμεθα τὴν σὴν ἀδελφότητα ἐν τοῖς σοῖς γράμμασι, καὶ τοιαύτην τὴν ἁγιότητά σου, οἵαν ἔγνωμεν, ἐθεωρήσαμεν, τῇ ἁπλῇ δηλονότι καθαρότητι ἔνδοξον, καὶ τῇ τῆς διανοίας λαμπρότητι μᾶλλον, ἢ τῷ λόγῳ διαφανῆ“ ap. Mansi T. V, coll. 271. Πρβλ. καὶ Tillemont Art. LXXXIX p. 488—489.

1) Σωκρ. ἐκκλ. ἱστορ. ζ' 35 καὶ 37. Tillemont Art. LXXXIX—XC p. 487—490. Pagi Crit. ad a. 431 n. 41. Dupin T. IV p. 305. S. Garneri in Opp. Marii Mercat. P. II. Praefat. p. XLII et p. 356—357.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*ἔγραψε βραχεῖαν ἀπόκρισιν καὶ εἰς τὴν τῶν χειροτονησάντων τὸν Μαξιμιανὸν ἐπισκόπων ἐπιστολήν, συγχαίρων αὐτοῖς ἐπὶ τῷ θριάμβῳ τῆς ἀληθείας, καὶ προσομολογῶν τὴν ὑπ' αὐτῶν γενομένην ἐπιτυχῆ ἐκλογὴν καὶ χειροτονίαν τοῦ νέου τῆς Κωνσταντινουπόλεως ἐπισκόπου.*[1])

§. 67. *Λαβόντες οἱ ἐν Ἐφέσῳ ἐπίσκοποι τὰ τοῦ αὐτοκράτορος γράμματα, δι' ὧν ἐπετρέπετο αὐτοῖς ἐπανελθεῖν εἰς τὰς ἑαυτῶν πατρίδας, ἀπῆλθον ἐκεῖθεν περὶ τὸ τέλος πιθανόν τοῦ Σεπτεμβρίου. Οἱ δὲ ἐν Χαλκηδόνι Ἀνατολικοὶ ἠβουλήθησαν μὲν ἐλθεῖν εἰς Κωνσταντινούπολιν, ἀλλ' ἐκωλύθησαν ὑπὸ τοῦ Μαξιμιανοῦ. Οὐδεμίαν τοίνυν ἔχοντες ἔτι ἐλπίδα τυχεῖν τούτου, ἔγνωσαν ἀπελθεῖν οἴκαδε.*[2]) *Ἐπανερχόμενοι δὲ εἰς Συρίαν ἔμαθον ἐν Ἀγκύρᾳ ὅτι ὁ ἐπίσκοπος τῆς πόλεως ταύτης Θεόδοτος, Φίρμος ὁ Καισαρείας, καὶ Μαξιμιανὸς ὁ Κωνσταντινουπόλεως, ἔγραψαν πρός τε τὸν αὐτόθι κλῆρον καὶ τὸν λαὸν προςενεχθῆναι αὐτοῖς διὰ τῆς πόλεως αὐτῶν διαβαίνουσιν ὥςπερ ἀκοινωνήτοις. Περιοργὴς ἐπὶ τούτῳ γενόμενος ὁ Ἀντιοχείας Ἰωάννης ἔγραψε πρὸς τὸν ἔπαρχον Ἀντίοχον ἐπιστολήν, ἐν ᾗ ἔλεγεν αὐτῷ, ὅτι οὔτε αὐτός, οὔτε οἱ ἄλλοι Ἀνατολικοὶ ἐπίσκοποι θεωροῦσιν ἐπισκόπους τὸν Φίρμον, τὸν Θεόδοτον, καὶ τὸν Μαξιμιανόν· παρεκάλει δὲ αὐτὸν πέμψαι τὴν ἐπιστολὴν ταύτην τῷ τε αὐτοκράτορι καὶ τῇ συγκλήτῳ.*

---

1) *Ἡ πρὸς τὸν ἅγιον Κύριλλον ἐπιστολὴ τοῦ Μαξιμιανοῦ εὕρηται ἐν ταῖς τοῦ θείου τούτου Πατρὸς ἐπ. λ'. Ἡ δὲ τοῦ ἁγίου Κυρίλλου ἐπ. λα' (ἀπόκρισις οὖσα εἰς τὴν τοῦ Μαξιμιανοῦ), καὶ ἡ λβ' λατινιστὶ μόνον διασωθεῖσα, καὶ οὖσα ἀπόκρισις πρὸς τοὺς ἐπισκόπους, τοὺς χειροτονήσαντας τὸν Μαξιμιανόν, εὕρηνται ἔν τε τῷ ι'. τόμῳ τῶν ἁπάντων αὐτοῦ* ed. Migne p. 148—158, *καὶ ἐν τοῖς Πρακτ. τῆς ἐν Ἐφ. Συν.* Mansi T. V, coll. 257—266. *Πρβλ.* Tillemont Art. XC p. 490—491.

2) *Πρὶν ἢ ἀπέλθωσιν ἐκ Χαλκηδόνος ἐξεφώνησεν ὁ Ἰωάννης λόγον πρὸς τοὺς ἐκ Κωνσταντινουπόλεως πρὸς ἀκρόασιν αὐτῶν ἐκεῖσε ἀφικομένους. Ἐν τῷ λόγῳ τούτῳ προτρέπει αὐτοὺς ὑφίστασθαι μᾶλλον πάντα, ἢ πιστεύειν εἰς Θεὸν παθητὸν, καὶ ὅτι μία ἐστὶν ἡ φύσις καὶ τοῦ σώματος καὶ τῆς Θεότητος." Ἡ γὰρ Θεότης, λέγει, αὐτὴ καθ' ἑαυτήν ἐστι θεία ὑπόστασις* (substantia), *τὴν τοῦ σώματος ἀναλαβοῦσα ὑπόστασιν. Ἐντεῦθεν κηρύττομεν τὴν συνάφειαν, καὶ οὐχὶ τὴν σύγχυσιν, τὴν ἕνωσιν καὶ οὐχὶ τὴν σύγκρασιν. Τὸ τελευταῖον (τὸ σῶμα) ἐγένετο Θεὸς δι' αὐτοῦ, καὶ Υἱὸς δι' αὐτοῦ, καὶ πάντα δι' αὐτοῦ· προσκυνεῖται μετ' αὐτοῦ, δοξάζεται μετ' αὐτοῦ καὶ ἐκεῖνος, ὃς ἡνώθη μετ' αὐτοῦ ἀχωρίστως· καλεῖται ἀπαρχὴ* (primitiae) *τῆς ἡμετέρας φύσεως. Ταῦτα φυλάττετε, καὶ ὁ Θεὸς τῆς εἰρήνης ἔσται μεθ' ἡμῶν . . ."* Mansi T. IV, coll. 1410—1411.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Ἐξ Ἀγκύρας μετέβησαν εἰς Ταρσόν, ἔνθα ὁ Ἰωάννης, συγκροτήσας σύνοδον μετ' Ἀλεξάνδρου τοῦ Ἱεραπόλεως καί τινων ἐπισκόπων, ἀνηκόντων εἰς τὴν μερίδα αὐτοῦ, καθεῖλεν ἐκ νέου τὸν ἅγιον Κύριλλον καὶ τοὺς ἑπτὰ ἐπισκόπους τοὺς μεταβάντας ἐκ Χαλκηδόνος εἰς Κωνσταντινούπολιν πρὸς χειροτονίαν τοῦ Μαξιμιανοῦ. Ἀφικόμενος δὲ ὁ αὐτὸς Ἰωάννης εἰς Ἀντιόχειαν, συνεκάλεσε πολυάριθμον σύνοδον ἔκ τε τῶν εἰς Ἔφεσον συνοδευσάντων αὐτῷ ἐπισκόπων καὶ τῶν ἐν Ἀντιοχείᾳ διαμεινάντων, καθ' ἣν ἐξήνεγκε νέαν καθαιρέσεως κατὰ τοῦ ἁγίου Κυρίλλου ἀπόφασιν.*[1]) *Ἐν ταυτῷ δὲ ἔγραψεν ἡ σύνοδος αὕτη τῷ Θεοδοσίῳ, ὅτι οἱ ἐπίσκοποι, οἱ ἐκκλησιαστικοί, καὶ ὁ λαὸς τῆς Ἀνατολῆς, συνηνώθησαν πρὸς ὑπεράσπισιν τῆς πίστεως τῆς Νικαίας, καὶ ὅτι ἀποστρέφονται τοὺς ἀντικειμένους ταύτῃ ἀναθεματισμοὺς τοῦ ἁγίου Κυρίλλου, ὧν τὴν διδασκαλίαν παρακαλεῖ καὶ τὸν Θεοδόσιον ἀπαγορεῦσαι.*[2])

§. 68. *Ὁ αὐτοκράτωρ Θεοδόσιος, βουλόμενος καταπαῦσαι τὰς μεταξὺ τῶν ἐπισκόπων διαφωνίας καὶ τὰς ἐκ τούτων ταραχάς, ἐκάλεσε πρὸς ἑαυτὸν τὸν Μαξιμιανὸν καὶ πολλοὺς τῶν ἐν Κωνσταντινοήπόλει εὑρισκομένων τότε ἐπισκόπων ὅπως συμβουλεύσωνται ὁμοῦ περὶ τῶν πρὸς ἀποκατάστασιν τῆς εἰρήνης ληπτέων μέτρων. Ἅπαντες εἶπον, ὅτι πρὸς τοῦτο ὁ μὲν Ἰωάννης ὀφείλει ὑπογράψαι τὴν τοῦ Νεστορίου καθαίρεσιν καὶ ἀναθεματίσαι τὴν διδασκαλίαν αὐτοῦ, ὁ δὲ Κύριλλος ἀμνη-*

---

1) *Ὁ Ἰωάννης καὶ ἡ σύνοδος αὐτοῦ αὕτη προσέταξε τοῖς ἐπισκόποις τῆς Ὀσροηνῆς μὴ κοινωνεῖν τῷ ἐπισκόπῳ Ῥαβουλᾷ ἕως ἂν ἀνακληθῇ καὶ ἐξετασθῇ δικαστικῶς Ὁ ἐπίσκοπος οὗτος, τὸ πρῶτον ἐθνικὸς καὶ διοικητὴς πόλεώς τινος, ἐπεστράφη εἰς τὸν χριστιανισμὸν ὑπὸ τοῦ ἁγίου Ἀλεξάνδρου, ἱδρυτοῦ τῆς μονῆς τῶν Ἀκοιμήτων. Μετὰ τὴν εἰς Χριστοῦ πίστιν ἐπιστροφὴν αὐτοῦ, ἠλευθέρωσεν ἅπαντας τοὺς ἑαυτοῦ δούλους, διένειμε τοῖς πτωχοῖς τὴν οὐσίαν αὐτοῦ, καὶ ἀπῆλθεν εἰς τὴν ἔρημον, ἔνθα διῆγε τὸν μοναδικὸν βίον. Προσκληθεὶς ἐντεῦθεν, ἐγένετο ἐπίσκοπος Ἐδέσσης, μητροπόλεως τῆς Μεσοποταμίας. Ἡ γυνὴ αὐτοῦ ἀφιέρωσεν ἑαυτὴν ἐπ' ἴσης τῷ Θεῷ, καὶ ἵδρυσε μοναστήριον, ἔνθα ἐγκλείσασα ἑαυτὴν διῆλθεν ἁγίως τὸν ἑαυτῆς βίον μετὰ τῶν θυγατέρων καὶ θεραπαινίδων αὐτῆς. Ὁ Ῥαβουλᾶς παρεγένετο ἐν τῇ συνόδῳ τῆς Ἐφέσου, ἔνθα τὸ μὲν πρῶτον ἠκολούθει τοῖς Ἀνατολικοῖς, ἔπειτα δὲ κατιδὼν ὅτι ἡ διδασκαλία τοῦ ἁγίου Κυρίλλου ἐστὶν ἡ μόνη ἀληθής, ἐγένετο ὀπαδὸς αὐτοῦ, καὶ ἀνεθεμάτισε Θεόδωρον τὸν Μοψουεστίας καὶ τοὺς ἀναγινώσκοντας τὰ τούτου συγγράμματα, καθ' ἃ μέλλομεν ἰδεῖν προσωτέρω. Κατεδίκασεν ἐπ' ἴσης τὰ κατὰ τοῦ ἁγίου Κυρίλλου συγγράμματα Ἀνδρέου τοῦ Σαμοσάτων, καὶ Θεοδωρήτου.* Tillemont Art. XCVI p. 504—506.

2) Tillemont Art. XCII p. 494—496.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*μονῆσαι διὰ τὴν ἀγάπην, καὶ παρ' οὐδὲν ἡγήσασθαι τὸ ὑβρισθῆναι κατὰ τὴν Ἔφεσον. Συναινέσας τοίνυν καὶ ἄγαν ἡσθεὶς ἐπὶ τούτοις ὁ αὐτοκράτωρ, ἔγραψε τῷ τε ἁγίῳ Κυρίλλῳ καὶ τῷ Ἰωάννῃ ἀπελθεῖν μετὰ πάσης σπουδῆς καὶ δίχα πάσης ὑπερθέσεως εἰς Νικομήδειαν, μηδένα τὸ σύνολον μεθ' ἑαυτῶν ἐπαγομένους, ὅπως συντύχωσιν ἀλλήλοις καὶ τὴν πρὸς ἀλλήλους ἔχθραν ἀπόθωνται. „Οὐκ ἀμφιβάλλομεν, λέγει ἐν τῇ πρὸς Ἰωάννην ἐπιστολῇ, ὡς παντὶ σθένει καὶ πάσῃ δυνάμει, εἰλικρινῆ καὶ ἀμετάτρεπτον ἑωρακὼς τὴν ἡμετέραν πρόθεσιν, καὶ ἀξίαν χριστιανικῆς ἐνστάσεως, συμπράξεις καὶ αὐτός, καὶ οὐδένα κάματον, ἢ σκυλμόν, οὐχ ὕβρεως καταφρόνησιν, οὐκ ἀμνησικακίαν ὀργῆς ἀναδέξασθαι παραιτήσῃ ὑπὲρ τοῦ τὰ παρὰ τῆς ημετέρας εὐσεβείας, ἕνεκα τῆς ὀρθοδόξου πίστεως, καὶ τῆς τῶν ἁγιωτάτων ἐκκλησιῶν ἑνώσεως, προσταχθέντα πέρατι παραδοθῆναι."[1]) Ἐν ταὐτῷ δὲ ἔγραψε καὶ πρὸς Ἀκάκιον τὸν τῆς Βερροιαίων, πρεσβύτατον ὄντα τῶν τῆς Ἀνατολῆς ἐπισκόπων, καὶ πολὺ παρὰ τῷ Ἰωάννῃ ἰσχύοντα, προτρέπων αὐτὸν πᾶσαν σπουδὴν ποιήσασθαι ὑπὲρ τῆς εἰρήνης τῆς ὑπὸ τοσοῦτον λυπηρᾶς διαιρέσεως διαταραχθείσης ἐκκλησίας, καὶ δεῖσθαι ὑπὲρ αὐτῆς τοῦ Θεοῦ, τῆς ῥωμαϊκῆς θρησκείας ἱερέας ἐπιδείξαντος δοκίμους.[2]) Ἔγραψεν ἐπ' ἴσης καὶ πρὸς τὸν μακάριον Συμεῶνα τὸν Στυλίτην[3]) πάνυ καλὴν ἐπιστολήν, δι' ἧς παρεκάλει τὸν μέγαν τοῦτον ἅγιον συντελέσαι εἰς βεβαίωσιν τῆς καλῶς ῥιζωθείσης εἰρήνης καὶ εἰς τὸ ἐκποδὼν γενέσθαι τὴν κακομηχανίᾳ διαβόλου τινὸς ἐμβληθεῖσαν μάχην. „Ἔσται δέ, λέγει, τοῦτο, εὖ ἴσμεν, πεποιθότες ταῖς εὐχαῖς τῆς σῆς ὁσιότητος, καὶ τῇ*

---

1) Mansi T. V, coll. 278—281. *Κύριλ. ἐπ. μ'. Πρβλ.* Tillemont Art. C p. 514—516.

2) Ap. Mansi T. V, coll. 284. *Ὁ Ἀκάκιος ἐγεννήθη τῷ* 322 *καὶ ἐτελεύτησε τῷ* 432. *Ὑπῆρξε φίλος τοῦ ἁγίου Ἐπιφανίου καὶ τοῦ ἁγίου Φλαβιανοῦ. Ἦν, ὡς μὴ ὤφελεν, εἷς τῶν ὠμοτέρων τοῦ τρισμακαρίου καὶ θειοτάτου Χρυσοστόμου διωκτῶν (Παλλάδ. Διάλ. κεφ. θ'). Ἔγραψε πολλὰς ἐπιστολάς, ὧν τρεῖς εὑρίσκονται ἐν τοῖς πρακτικοῖς τῆς ἐν Ἐφ. καὶ τῆς ἐν Χαλκηδόνι Συν. οὐχ ἅπαξ ἀπεστάλη εἰς Ῥώμην, ἔνθα ὑπερήσπισε τὴν διδασκαλίαν τῶν δύο ἐν τῷ Ἰησοῦ Χριστῷ φύσεων. Πρβ. Σωζ. ἐκκλ. ἱστορ. βιβλ. ζ, κεφ.* 28. Ceillier Hist. des aut. sacrés et eccles. T. XIII.

3) *Περὶ τοῦ θαυμασίου τούτου ἁγίου ἔγραψεν ὁ μακάριος Θεοδώρητος κατ' ἔκτασιν ἐν τῇ Φιλοθ. ἱστορ. κεφ.* 26. *Πρβ. καὶ Νικηφ. Κάλλιστ. ἐκκλ. ἱστορ. ιδ,* 51, *καὶ Συμ. τὸν Μεταφρ.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*πρὸς τοὺς δυναμένους ταύτην θεμελιῶσαι καὶ διεσπασμένην ἀνακαλέσασθαι ἐνστάσει τε καὶ προτροπῇ ... Οὕτω γὰρ καὶ ἡμᾶς διχόνοια καὶ φιλονεικία ταράττει, ὥςτε καὶ πρώτην αἰτίαν ταύτην εἶναι τῶν συμβαινόντων δυςχερῶν λογίζεσθαι, θαρρεῖν δὲ ὡς πάντα τὰ τῆς ἡμετέρας βασιλείας κατὰ γνώμην τῆς τοῦ Θεοῦ φιλανθρωπίας προβήσεται, τῶν τῆς ἐκκλησίας καὶ τῆς ὀρθοδόξου πίστεως μελῶν συναπτομένων τε καὶ ἑνουμένων ἐπὶ τούτῳ τῷ κατορθώματι. καὶ ἀγώνισαι ἀγῶνα τὸν κάλλιστον, ὥστε περιγενέσθαι τῶν τοῦ δαίμονος ἐπιχειρημάτων* ..."[1])

§. 69. *Αἱ ἐπιστολαὶ αὗται ἐπέμφθησαν διὰ τοῦ τριβούνου καὶ νοταρίου Ἀριστολάου, ᾧ ἀνετέθη ἡ ἐκτέλεσις τῆς τοῦ αὐτοκράτορος ἀποφάσεως.* Ἦν δ' οὗτος οὐ μόνον Χριστιανός, *ἀλλὰ καὶ ζηλωτὴς τῆς ἀληθοῦς πίστεως, ὑπὸ πολλῶν ἀρετῶν πρὸς τούτοις κοσμούμενος. Οὗτος ἔμελλε, κατὰ διαταγὴν τοῦ αὐτοκράτορος, ὁδηγῆσαι τὸν ἅγιον Κύριλλον καὶ τὸν Ἰωάννην εἰς Νικομήδειαν, καὶ ἐντεῦθεν εἰς Κωνσταντινούπολιν. Τοῦτο δὲ οὐκ ἐγένετο, προβαλλομένου τοῦ Ἰωάννου πολλὴν τὴν ἀσθένειαν αὐτοῦ εἰς τὸ ἀναλαβεῖν τοιαύτην ὁδοιπορίαν, καὶ τὸ πρᾶγμα ἐκλαβόντος ὡς ῥᾳδιουργίαν τοῦ ἁγίου Κυρίλλου. Ὁ ἔπαρχος τῆς Ἀνατολῆς κόμης Διονύσιος ἔλαβεν ἐπ' ἴσης ἐντολὴν πεῖσαι τὸν Ἰωάννην εἰς τὸ δέξασθαι τὰς γενομένας αὐτῷ προτάσεις, διὸ καὶ ἦλθεν εἰς Ἀντιόχειαν περὶ τὸν αὐτὸν χρόνον καθ' ὃν καὶ ὁ Ἀριστόλαος. Γνωστοῦ γενομένου τοῦ θεσπίσματος τοῦ αὐτοκράτορος, μετεπέμψατο ὁ Ἰωάννης Ἀλέξανδρον τὸν Ἱεραπόλεως, Μακάριον τὸν Λαοδικείας, Ἀνδρέαν τὸν Σαμοσάτων, τὸν μακάριον Θεοδώρητον, καὶ ἄλλους, συσκεψομένους περὶ τοῦ πρακτέου. Ἀποτέλεσμα δὲ τῆς συσκέψεως αὐτῶν ὑπῆρξε: διαλλαγῆναι πρὸς τὸν ἅγιον Κύριλλον, ἐὰν ἀρνήσηται τὰ ὑφ' ἑαυτοῦ ἔν τε ἐπιστολαῖς καὶ τόμοις καὶ βιβλίοις κατὰ τοῦ Νεστορίου γραφέντα, καὶ ἐὰν συνθῆται μόνῃ τῇ ἐν Νικαίᾳ ὁρισθείσῃ πίστει. Ἀκάκιος ὁ Βερροίας ἔγραψε πρὸς τὸν ἅγιον Κύριλλον, προτρέπων αὐτὸν ἀποδέξασθαι τὰς περὶ συνδιαλλαγῆς τῶν Ἀνατολικῶν προτάσεις.*[2]) *Τὴν ἐπιστολὴν ταύτην ἀνεδέξατο ὁ Ἀριστόλαος κομίσαι εἰς Ἀλεξάνδρειαν,*

---

1) Ap. Mansi T. V, coll. 282–284.
2) *Ἐπ. μ'. ἐν ταῖς ἐπ. τοῦ ἁγ. Κυρίλλου.*



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁπόθεν ἀπέστειλε καὶ τὴν τοῦ ἁγίου Κυρίλλου ἀπόκρισιν διά τινος ἀξιωματικοῦ, Μαξίμου καλουμένου.

§. 70. Ὁ ἅγιος Κύριλλος, ὡς πᾶς τις ἠδύνατο προςδοκᾶν, ἀπέρριψεν ὁριστικῶς τὴν τοιαύτην τῶν Ἀνατολικῶν πρότασιν, δι' ἧς παρηγγέλλετο καταδικάσαι πᾶν ὅ,τι εἶχε γεγραμμένον κατὰ τοῦ Νεστορίου. „Ὁμολογῶ, γράφει, τῷ Ἀκακίῳ, ὅτι τὸ σύμβολον τῆς Νικαίας ἐστὶν ἀρκοῦν· ἀλλ' ἃ γέγραφα οὐκ ἔστιν ἢ κατὰ τῶν τοῦ Νεστορίου πλανῶν· ἐὰν δέ ταῦτα ἀρνήσωμαι, ἐκεῖνος μὲν δόξει δίκαια λέγειν, ἡμεῖς δὲ ἀδικεῖν, καὶ αὐτὸν παρανόμως καθελεῖν. Ὁρᾶτε τοίνυν, ὅτι ἀντὶ τοῦ βούλεσθαι τὴν εἰρήνην ἐπανεφέρειν, εἰς τὴν τῆς διαιρέσεως ἀρχὴν ἡμᾶς ἐπανάγουσιν. Οὐδεμία δὲ ἀνάγκη εἰπεῖν ὅτι πολλῷ μᾶλλον ὤφειλον, εἰς Ἔφεσον ἀφικόμενοι, καταδικάσαι μεθ' ἡμῶν τὸν Νεστόριον ... Ἐπὶ τρία ἔτη ἠνεσχόμεθα τὰς τοῦ Νεστορίου βλασφημίας, σπουδάζοντες, καὶ μεθ' ἡμῶν ἡ ὑμετέρα ἁγιότης, ἐξαγαγεῖν αὐτὸν τῶν τοιούτων, μᾶλλον δὲ μεταπαιδεῦσαι αὐτὸν (transformare) τὰ εἰς τὸ ὀρθὸν καὶ τὴν ἀλήθειαν ἄγοντα δόγματα. Ἐπειδὴ δ' ἐνέμενε, καὶ πολλῷ χείρω κατὰ τῆς τοῦ Χριστοῦ δόξης ἐν αὐτῇ ἔτι τῇ τῶν Ἐφεσίων μητροπόλει ἐξέφερεν, καθάπερ ὑπ' ἀνιάτου τινὸς νόσουκατεχόμενον ἀπέστησεν αὐτὸν τῆς ἱερωσύνης ἡ ἱερὰ Σύνοδος, ἐν ταὐτῷ τὴν τῆς Νικαίας πίστιν ἐπικυρώσασα. Διὰ δὲ τὴν πρὸς τὸν Θεὸν ἀγάπην, καὶ τὸ πρὸς τὸν εὐσεβέστατον καὶ φιλόχριστον αὐτοκράτορα σέβας, καὶ τὴν τῆς ἐκκλησίας ὠφέλειαν, ἐπιλαθέσθαι βούλομαι τῶν κατ' ἐμοῦ ὑπ' αὐτῶν διαπεπραγμένων καὶ συγχωρῆσαι αὐτοῖς ὡς ἀδελφοῖς.“ Μετὰ δὲ ταῦτα λέγει: „Ἀρεστὸν δὲ τῷ Θεῷ καὶ τῷ ἀγαπητῷ αὐτοκράτορι συνεπινεῦσαι αὐτοὺς τῇ τοῦ Νεστορίου καθαιρέσει, τὰς βλασφημίας αὐτοῦ καὶ τὰ μιαρὰ δόγματα ἀναθεματίζοντας, μεθ' ὃ οὐδὲν ὑπολείπεται ἐκποδὼν γενέσθαι τὴν ἔριν ... Οὐκ ἄπορον δ' ὅτι τινὲς τῶν παραπλήκτων καὶ ἀλογίστων ἐξεμοῦσι καθ' ἡμῶν λόγους, διαβάλλοντες ἡμᾶς τὰ τοῦ Ἀπολιναρίου καὶ Ἀρείου καὶ Εὐνομίου φρονεῖν, ὡς ἐν Ἐφέσῳ ἐγράψαντο. Ἐγὼ δὲ τῇ τοῦ Σωτῆρος χάριτι ὀρθόδοξος ἀείποτε ἐγενόμην, καὶ ἐν ταῖς χερσὶ τοῦ Πατρὸς τῶν ὀρθοδόξων ἐτράφην, οὔτε τὰ Ἀπολιναρίου, οὔτε τὰ αἱρετικοῦ τινος ἄλλου, μὴ γένοιτο, φρονήσας ποτέ, οὓς δὴ καὶ ἀναθεματίζω. Οὐ γὰρ ἄψυχον τὸ τοῦ Χριστοῦ λέγω σῶμα, ἀλλ' ὁμολογῶ ὅτι ἐνεψυχώθη ψυχῇ λογικῇ. Ἀλλ'

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*οὐδὲ σύγχυσιν ἢ συμφυρμὸν διατείνομαι γεγονέναι, ὡς ἄλλοι φασίν. Ἀμετάτρεπτον γὰρ καὶ ἀμετάβλητον ὑπάρχειν κατὰ τὴν φύσιν τὸν Λόγον τοῦ Θεοῦ ἔγνωκα, καὶ κατὰ τὴν ἰδίαν φύσιν πάθους παντὸς ἀνεπίδεκτον. Ἀπαθὲς γὰρ πᾶν ὅ, τι πέφυκε θεῖον, καὶ μεταβολῆς ἐπισκιασμὸν οὐδένα ὑφίσταται... Εἶτα δὲ καὶ τὸν αὐτὸν Χριστὸν καὶ Κύριον, τὸν Μονογενῆ τοῦ Θεοῦ Υἱόν, Αὐτὸν λέγω παθεῖν σαρκὶ ὑπὲρ ἡμῶν, κατὰ τὰς Γραφάς, ἢ κατὰ τὴν τοῦ μακαρίου Πέτρου φωνὴν (Α.' Πέτρ. δ, 1.). Κατὰ μόνων δὲ τῶν τοῦ Νεστορίου δογμάτων γέγραπται τὰ κεφάλαια, τὰ οὐκ ὀρθῶς ἐκείνῳ εἰρημένα καὶ γεγραμμένα καταδικάζοντα. Οἱ ἀναθεματίζοντες δὲ ἡμᾶς, τὴν ἐκείνου ἀρνούμενοι φρενοβλάβειαν, παύσονται πάντως τὰ γεγραμμένα ὑφ' ἡμῶν ψέγοντες. Ὄψονται γὰρ τὸ τῶν κεφαλαίων νόημα μόναις ταῖς ἐκείνου βλασφημίαις ἐναντιούμενον. Τῆς κοινωνίας δὲ καὶ τῆς ἐν ταῖς ἐκκλησίαις εἰρήνης αὖθις ἀποκαθισταμένης, ὅτε καὶ ἔσται δυνατὸν ἐκείνοις τε ἡμῖν καὶ ἡμῖν ἐκείνοις ἄνευ ὑπονοίας ἐπιστέλλειν, ῥαδίαν ἕξομεν τὴν δικαίωσιν. Ὅσα τε καθόλου τῶν ἡμῖν γεγραμμένων οὐ πάνυ σαφῶς νοεῖται, καὶ ταῦτά γε διαλευκανθήσεται. Οὐδὲν δὲ καθόλου ἐξ ὅσων ἐγράψαμεν, τὰ δόγματα τοῦ Νεστορίου πολεμοῦντες, ἀντίκειται ταῖς ἁγίαις Γραφαῖς, ἢ τῷ τῆς πίστεως ὁρισμῷ, τῷ ἐκτεθέντι ὑπὸ τῶν ἁγίων Πατέρων, τῶν συνελθόντων εἰς Νίκαιαν."* *Τέλος δὲ συμβουλεύει τοῖς Ἀνατολικοῖς ἀποδέξασθαι ὡς πραγματικὴν τὴν τοῦ Νεστορίου καθαίρεσιν, καὶ ἀναθεματίσαι τὰς ἀσεβεῖς αὐτοῦ δοξασίας, καὶ συνθέσθαι τῇ τοῦ Μαξιμιανοῦ χειροτονίᾳ. Προσεπιλέγει δὲ ὅτι τοσοῦτον ὁ Ἀριστόλαος κατεπράϋνε τὰ πνεύματα τοῦ κλήρου τῆς Ἀλεξανδρείας καὶ ἁπάντων τῶν ἐπισκόπων τῆς Αἰγύπτου, οἵπερ κατελυπήθησαν ἐφ' οἷς ἔγραψαν κατ' αὐτοῦ οἱ Ἀνατολικοί, ὥστε κατέστησεν αὐτῷ ῥαδίαν καὶ ὁμαλὴν τὴν τῆς εἰρήνης ὁδόν.*[1]

§. 71. *Ἰωάννης ὁ Ἀντιοχείας, Ἀκάκιος, καὶ ἅπαντες οἱ λοιποὶ φίλοι τῆς εἰρήνης τῆς Ἐκκλησίας, ἀνωμολόγησαν ὀρθό-*

---

1) Ἐπ. λβ'. *Καὶ τῆς ἐπιστολῆς ταύτης διεσώθη ἡ λατινικὴ μόνον μετάφρασις. Ὁ θεῖος Πατὴρ ἔγραψεν ἐν ταὐτῷ καὶ πρὸς τὸν Ῥαβουλᾶν, ἀγγέλλων αὐτῷ τὴν εἰς Ἀλεξάνδρειαν τοῦ Ἀριστολάου ἄφιξιν καὶ τὴν ὑπὲρ τῆς εἰρήνης τῶν ἐκκλησιῶν σπουδὴν τοῦ αὐτοκράτορος. Ἀπέστειλεν ὡσαύτως αὐτῷ ἀντίγραφον τῆς ἐπιστολῆς, ἣν ἔγραψεν αὐτῷ ὁ Ἀκάκιος, καὶ τὴν εἰς ταύτην ἀπόκρισιν αὐτοῦ.* Tillemont p. 519—521



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δοξον τὴν ὁμολογίαν τῆς πίστεως, τὴν ἐν ταύτῃ τῇ ἐπιστολῇ ὑπὸ τοῦ ἁγίου Κυρίλλου ἐκτεθεῖσαν.[1]) Ἀρκετὸν λίαν ἦν τῷ Ἰωάννῃ ὅτι ὁ ἅγιος Κύριλλος κατεδίκασε διαρρήδην τήν τε τοῦ Ἀπολιναρίου πλάνην καὶ τὴν τῶν δύο φύσεων σύγχυσιν. Ἐντεῦθεν, σφόδρα τὴν εἰρήνην ποθῶν, μετέβη εἰς Βέρροιαν ἐπισκεψόμενος τὸν Ἀκάκιον, ὡς πατέρα ὑφ' ἁπάντων τιμώμενον, καὶ παντὶ σθένει ὑπὲρ τῆς εἰρήσης φιλοτιμούμενον, καὶ περὶ τοῦ πρακτέου τοῖς λοιποῖς ἐπισκόποις συσκεψόμενος. Μετὰ ὥριμον σύσκεψιν ἔγνωσαν πάντες οὗτοι παρακαλέσαι Παῦλον τὸν Ἐμέσης μεταβῆναι εἰς Αἴγυπτον, ἵνα συμβουλεύσηται μετὰ τοῦ ἁγίου Κυρίλλου τίνι τρόπῳ διατεθήσεται τὰ τῆς εἰρήνης ἀσφαλῶς. Ὁ Παῦλος ἦν ἀνὴρ γηραιός, συνετός, καὶ πάσης πίστεως ἄξιος. Ἀφίκετο δὲ εἰς Ἀλεξάνδρειαν καθ' ὃν χρόνον ἔπασχεν ὁ ἅγιος Κύριλλος ὑπὸ νόσου βαρείας, διὸ καὶ ἠναγκάσθη περιμεῖναι ἄχρι τῆς ἀναρρώσεως αὐτοῦ.[2])

---

1) Τὴν ἐπιστολὴν ταύτην ἀπέστειλεν ὁ Ἀκάκιος πρὸς Ἀλέξανδρον τὸν Ἱεραπόλεως καὶ πρὸς Θεοδώρητον, παρακαλῶν ἀμφοτέρους ἐλθεῖν, εἰ δυνατόν, εἰς Βέρροιαν· εἰ δὲ ἀδύνατον, γράψαι ὅτι συνεφώνουν τῇ ἀποκρίσει, ἣν ὅ τε Ἰωάννης καὶ οἱ λοιποὶ ἐπίσκοποι, οἱ ἐν ταύτῃ τῇ πόλει εὑρισκόμενοι, ἔμελλον ἀποστεῖλαι τῷ ἁγίῳ Κυρίλλῳ. Ὁ μὲν Θεοδώρητος ἀπεφήνατο ὅτι ἡ ἐπιστολὴ τοῦ ἁγίου Κυρίλλου ἦν κατὰ πάντα σύμφωνος τῇ διδασκαλίᾳ τῶν ἁγίων Πατέρων, καὶ ὅτι λίαν ἐχάρη, καὶ ἐδόξασε τὸν Θεὸν ἐπὶ τῇ γενομένῃ μεταβολῇ· οὐκ ἤρεσε δὲ αὐτῷ τοῦτο μόνον, ὅτι ὁ θεσπέσιος Κύριλλος οὐκ ἀπέρριψε τοὺς ἀναθεματισμοὺς αὐτοῦ. Ἠρνήσατο δὲ ὑπογράψαι τὴν τοῦ Νεστορίου καταδίκην, λέγων, ὅτι οὐκ ἠδύνατο καταδικάσαι ἄνθρωπον ὀρθόδοξον, καταδικασθέντα κατὰ ψευδῆ τῶν συγγραμμάτων αὐτοῦ τεμάχια. Ὁ δὲ Ἱεραπόλεως ἦν παντελῶς ἄκαμπτος, καὶ ἔγραψε πρὸς τὸν Ἀκάκιον, ὅτι οὐ δύναται κοινωνῆσαι τῷ ἁγίῳ Κυρίλλῳ· Ἐσπούδαζε δὲ ἀποδεῖξαι τὸν θεῖον Πατέρα τὰ τοῦ Ἀπολιναρίου φρονοῦντα, ὡς ἐδείκνυτο δῆθεν ἐκ τῶν ἀναθεματισμῶν αὐτοῦ, ἀρνουμένου ἀπορρίψαι αὐτούς, καὶ ἐκ τῶν λοιπῶν αὐτοῦ συγγραμμάτων, κατ' ἐξοχὴν δὲ ἐκ τῆς ἑρμηνείας εἰς τὴν πρὸς Ἑβραίους ἐπιστολήν, καὶ ἐξ αὐτῆς τῆς πρὸς Ἀκάκιον ἐπιστολῆς αὐτοῦ, ἐν ᾗ, ἀντὶ τοῦ ὁμολογῆσαι τὰς δύο φύσεις, συνῄρει, λέγει, αὐτὰς εἰς μίαν μόνην, καὶ διϊσχυρίζετο ὅτι ὁ Λόγος ἦν παθητὸς ἀπὸ τῆς ἐνσαρκώσεως αὐτοῦ. Ἑλλάδιος ὁ Ταρσοῦ, Μαξιμιανὸς ὁ Ἀναζαρβοῦ, καὶ Εὐθήριος ὁ Τυάνων, ἠκολούθησαν τῷ Ἀλεξάνδρῳ, ἐναντιωθέντες τῇ ὑπὲρ τῆς εἰρήνης τοῦ Ἰωάννου φιλοτιμίᾳ. Ἀνδρέας ὁ Σαμοσάτων ἐνόμιζεν μέν, ὡς καὶ ὁ Ἀλέξανδρος, ὅτι ὁ ἅγιος Κύριλλος εὑρίσκετο ἀεὶ ἐν τῇ πλάνῃ, ἀλλ' ἡγεῖτο φρόνιμον, χάριν τῆς εἰρήνης τῆς ἐκκλησίας, χρήσασθαι συγκαταβάσει, καὶ καταδικάσαι ἐν γένει τοὺς παραδεχομένους τοὺς δύο Υἱούς, ἢ λέγοντας ὅτι ὁ Ἰησοῦς Χριστὸς ἦν ἁπλοῦς ἄνθρωπος (Tillemont Art. CIII p. 522—527).

2) Tillemont Art. CV p. 527—530.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

§. 72. *Τὰ ὑπὸ Παύλου ἐγχειρισθέντα τῷ ἁγίῳ Κυρίλλῳ γράμματα ἦσαν μέν, ὡς λέγει, κανονικά, ὑπηγορεύθησαν δὲ οὐ σφόδρα καθηκόντως. „Προσεποιοῦντο γάρ, λέγει, καὶ μέμψεις προσάγειν, ὡς οὐκ ὀρθῶς τινων εἰρημένων καὶ πεπραγμένων ἐν τῇ ἁγίᾳ Συνόδῳ." Τὰς μέμψεις ταύτας οὐκ ἔστερξεν ὁ θεῖος Πατήρ, ὡς εἰκός, ἀλλ' εἶπεν: „οἱ καὶ συγγνώμην αἰτεῖν ὀφείλοντες ἐπὶ τοῖς φθάσασι, πῶς, καὶ δευτέρας ἐπάγουσιν ὕβρεις;" — Ὁ Παῦλος ἀπελογήσατο καὶ ἐνωμότως διεβεβαιώσατο ὅτι οὐδαμῶς μὲν τοιοῦτό τι προὐτίθεντο ἐπιστέλλοντες, ἀλλ' ὅτι ὁ Ἰωάννης ἔγραψεν οὕτω τὰ γράμματα ἐξ ἁπλότητος μᾶλλον καὶ ἐκ ζήλου πρὸς τὴν ἀληθῆ διδασκαλίαν. Ὁ Κύριλλος ἔστερξε μὲν τὴν ἀπολογίαν ταύτην διὰ τὸν τῆς ἀγάπης πόθον, ἀλλὰ τὸν Παῦλον αὐτὸν οὐκ ἐδέξατο εἰς τὴν σύναξιν πρὸ τοῦ ἀναθεματίσαι ἐγγράφως τὰ τοῦ Νεστορίου δόγματα καὶ πρὸ τοῦ ὁμολογῆσαι ἔχειν τε αὐτὸν καθῃρημένον καὶ τῇ τοῦ Μαξιμιανοῦ χειροτονίᾳ συντίθεσθαι.*[1])

§. 73. *Συναινέσας ὁ Παῦλος ἄνευ ἀντιλογίας τῷ ὑπὸ τοῦ ἁγίου Κυρίλλου προταθέντι ὅρῳ, ἐγένετο δεκτὸς ἐν ταῖς ἐκκλησιαστικαῖς προσευχαῖς, καὶ ἔλαβεν ὡς ἐπίσκοπος θέσιν ἐν τῇ μεγάλῃ τῆς Ἀλεξανδρείας ἐκκλησίᾳ. Τῇ ἑορτῇ δὲ τῆς τοῦ Κυρίου Γεννήσεως (τῷ 432) ἐξεφώνησεν ἐν τῇ ἐκκλησίᾳ ταύτῃ ὁμιλίαν, παρόντος τοῦ ἁγίου Κυρίλλου, ἧς ἀρχόμενος εἶπεν: „Ὢ τοῦ θαύματος! τίκτει ἡ Παρθένος καὶ μένει Παρθένος· γίνεται μήτηρ, καὶ οὐ πάντα τὰ μητρὸς ἀκριβῶς ὑπομένει. Ἔτεκε μὲν γὰρ ὡς νόμος γυναιξὶν ἡ Παρθένος, ἔμεινε δὲ Παρθένος, ὡς οὐ νόμος ταῖς τικτούσαις γυναιξίν. Ἄνωθεν προορώμενος ὁ Προφήτης Ἡσαΐας τὸ θαῦμα, ἐβόα· ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται Υἱόν, καὶ καλέσουσι τὸ ὄνομα Αὐτοῦ Ἐμμανουήλ... Τίκτει οὖν ἡ Θεοτόκος Μαρία τὸν Ἐμμανουήλ." Ταῦτα ἀκούσας ὁ λαὸς ἐβόησεν: „Ἡ πίστις ἰδοὺ αὕτη ἐστί· Θεοῦ δῶρον, Κύριλλε ὀρθόδοξε· τοῦτο ἀκοῦσαι ἐζητοῦμεν· ὁ τοῦτο μὴ λέγων ἀνάθεμα ἔστω." Εἶπε δ' ἐν ταὐτῷ ὁ ἐπίσκοπος Παῦλος: „ὁ τοῦτο μὴ λέγων, καὶ νοῶν, καὶ φρονῶν, ἀνάθεμα ἔστω ἀπὸ τῆς ἐκκλησίας." — Ἔτεκεν οὖν ἡμῖν ἡ Θεοτόκος Μαρία τὸν Ἐμμανουήλ, Ἐμμανουὴλ δὲ Θεὸν ἐνανθρωπήσαντα. Ὁ γὰρ πρὸ τῶν αἰώνων ἐκ*

---

1) Ἐπ. μη'.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Πατρὸς ἀρρήτως καὶ ἀνεκφράστως γεννηθεὶς Θεὸς Λόγος ἐπ' ἐσχάτων τῶν ἡμερῶν τίκτεται ἐκ γυναικός. Τὴν γὰρ ἡμετέραν τελείως ἀνειληφὼς φύσιν, καὶ το ἀνθρώπινον ἐκ πρώτης συλλήψεως οἰκειώσας ἑαυτῷ, καὶ τὸ ἡμέτερον σῶμα ναὸν ἑαυτῷ κατασκευασάμενος, προῆλθεν ἐκ τῆς Θεοτόκου Θεὸς τέλειος καὶ ἄνθρωπος τέλειος ὁ αὐτός. Δύο γὰρ φύσεων τελείων συνδρομή, θεότητός φημι καὶ ἀνθρωπότητος, τὸν ἕνα ἡμῖν ἀπετέλεσεν Υἱόν, τὸν ἕνα Χριστόν, τὸν ἕνα Κύριον." — Καὶ ὁ μὲν λαὸς ἐβόησεν αὖθις: „Καλῶς ἦλθες, ὀρθόδοξε ἐπίσκοπε. Ὁ ἄξιος τῷ ἀξίῳ, Χριστιανοί, λέγουσι· Θεοῦ δῶρον, Κύριλλε ὀρθόδοξε." — Ὁ δὲ ἐπίσκοπος Παῦλος εἶπεν ἐπὶ τούτοις: „Ἤδειν κἀγώ, ἀγαπητοί, ὡς προς ὀρθόδοξον ἀφικόμην Πατέρα. Διὰ τοῦτο Τριάδα, οὐ τετράδα, προςκυνοῦμεν, Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα ἅγιον. Ἀναθεματίζομεν δὲ τοὺς λέγοντας δύο υἱούς, καὶ τῶν ἱερῶν τῆς ἐκκλησίας ἐκβάλλομεν περιβόλων. Οὔτε οὖν δύο λέγομεν, οὔτε ψιλὸν ἄνθρωπον τὸν Ἐμμανουήλ, τὸν ἐκ τῆς Θεοτόκου γεννηθέντα, οὔτε χάριτος ἠξιωμένον, ὡς προφήτην, ἢ ὡς δίκαιον, πλέον τῶν ἄλλων. Ἐν αὐτῷ γὰρ ηὐδόκησε κατοικῆσαι πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, τοῦτ' ἔστιν ὡς ἐν ἰδίῳ σώματι. Τὸ γὰρ ἡμέτερον ἴδιον ἐποιήσατο σῶμα. Ἐπὶ ταύτῃ τῇ πίστει τεθεμελίωται ἡ ἐκκλησία τοῦ Θεοῦ· ἐπὶ ταύτῃ τῇ προσδοκίᾳ, ἐπὶ ταύτης τῆς πέτρας ἔθετο τὰ θεμέλια τῆς ἐκκλησίας ὁ Δεσπότης Θεός . . . Παρακαλέσωμεν οὖν τὸν Πατέρα τὴν συνήθη παραθεῖναι ἡμῖν τράπεζαν καὶ τὰ πολυτελῆ καὶ ποικίλα τοῦ Πνεύματος ὄψα, στεφανῶσαι τὸν κρατῆρα τῆς διδασκαλίας, καὶ μεθύσαι ἡμᾶς μέθην σωφροσύνης μητέρα. Εἴπωμεν, ἐξεγέρθητι, ὦ Πάτερ, ἐξεγέρθητι, ἡ δόξα μου· ἐξεγέρθητι ψαλτήριον καὶ κιθάρα τοῦ ἁγίου Πνεύματος, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν."*

§. 74. *Μετὰ ὀκτὼ ἡμέρας, δηλ. τῇ α' Ἰανουαρίου τοῦ* 433, *ἐξεφώνησεν αὖθις ὁ Παῦλος ὁμιλίαν, ἐν ᾗ εἶπε: „Πρώην πρὸς τὴν ὑμετέραν ἀγωνιστικώτερον διαλεγόμενοι ἀγάπην, πέρας ἐπιθεῖναι τῷ λόγῳ οὐκ ἰσχύσαμεν· στενοχωρία δὲ τῶν ἡμετέρων ἀδελφῶν ἐξέωσεν ἡμᾶς τῶν σκαμμάτων. Φέρε οὖν αὖθις ἀποδυσάμενοι, τῶν αὐτῶν ἀψώμεθα παλαισμάτων. Ὁ δὲ γενναῖος οὗτος Πατὴρ καὶ παιδοτρίβης, ὅπερ ποτὲ ἐποίει, καὶ αὖθις ποιείτω· κρινέτω τὰ παλαίσματα. Καὶ γὰρ τότε γεγανυμένῳ τῷ προσώπῳ καὶ φαιδρῷ τῷ μειδιάματι ἐδείκνυτο*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χαίρων τοῖς ἀγῶσι τοῦ παιδός, καὶ θαλλοῦ δίκην τὴν δεξιὰν ἡμῖν ἐπισείων, δῆλος ἡμῖν τιθέμενος καὶ ἐπιθυμῶν τὸν παῖδα ἀναρρηθῆναι, καὶ στεφανίτην, καὶ νικητὴν ἀναδειχθῆναι." — Ὁ λαὸς καὶ ἐνταῦθα ἐβόησε: „Θεοῦ δῶρον Κύριλλος, ὅλους ἐποίησας ὡς σεαυτόν. Ὁ ἄξιος τῷ ἀξίῳ. Τῶν ἐπισκόπων τὸν πατέρα, Κύριε, σῶσον. Καλῶς ἦλθες, ἐπίσκοπε ὀρθόδοξε, τῆς οἰκουμένης παιδευτά. Ὁ πιστεύων οὕτω φιλεῖται μεγάλου διδασκάλου μέγας ἐπαινέτης." Ὁ Παῦλος ἀνέπτυξεν ἔπειτα ἐξαιρέτως τὸ μυστήριον τῆς Ἐνσαρκώσεως κατὰ τῶν τοῦ Νεστορίου καὶ τοῦ Ἀπολιναρίου πλανῶν, καὶ ἐν τέλει εἶπε τάδε: „Αὕτη γὰρ τοῦ Πατρὸς ἡ διδασκαλία· οὗτος ὁ θησαυρος προγονικὸς ὑμῶν· τοῦ μακαρίου Ἀθανασίου τὰ δόγματα· τοῦ μεγάλου Θεοφίλου τὰ διδάγματα, τῶν στύλων τῆς ὀρθοδοξίας. Ἀλλ' ἐπειδὴ μακροθύμως τῶν ἡμετέρων ἠνέσχεσθε ψελλισμάτων, ἀναμείνατε τοῦ πατρὸς τὴν σοφίαν. Ἠκούσατε καλάμου ποιμενικοῦ, ἀκούσατε καὶ σάλπιγγος μεγαλοφωνοτάτης." Μετὰ τὴν ἐκφώνησιν τῆς ὁμιλίας ταύτης ἀπήγγειλε καὶ ὁ ἅγιος Κύριλλος πάνυ βραχεῖαν ὁμιλίαν, δι' ἧς ἐνέκρινε τὰ ὑπὸ τοῦ Παύλου ῥηθέντα.[1])

§. 75. Ἀναθεματίσας ὁ Παῦλος τὰς τοῦ Νεστορίου δυσφημίας, καὶ ὁμολογήσας ἐγγράφως τὴν καθαίρεσιν αὐτοῦ, εἶπεν ὅτι ἔπραξε τοῦτο ὑπὲρ πάντων καὶ ὡς ἐκ προσώπου πάντων τῶν κατὰ τὴν Ἀνατολὴν ἐπισκόπων, τῶν μέχρις ἐκείνου τοῦ χρόνου ὑπερασπιζόντων τὸν Νεστόριον· ἀλλ' ὁ ἅγιος Κύριλλος ἐπέμενε λέγων, ὅτι πάντως τε καὶ πάντη ὀφείλει ὁ Ἰωάννης ὑπογράψαι τὴν τοῦ Νεστορίου καθαίρεσιν, καὶ πρὸς τοῦτο ἀπέστειλεν εἰς Ἀντιόχειαν δύο τῶν διακόνων αὐτοῦ, Κάσσιον καὶ Ἀμμώνιον, οἷς ἐνετείλατο ἐγχειρίσαι τῷ Ἰωάννῃ τὰ κοινωνικά, ἐὰν δῷ, συνῳδὰ τῷ Παύλῳ, ἔγγραφον ὁμολογίαν, ὅτι ἀνομολογεῖ τὸν μὲν Νεστόριον αἱρετικόν, τὸν δὲ Μαξιμιανον κανονικῶς χειροτονηθέντα ἐπίσκοπον.[2]) Τοῖς διακόνοις τούτοις συνώδευσε μέχρις Ἀντιοχείας ὁ Ἀριστόλαος, σφόδρα ἐπὶ τῇ

---

1) Αἱ ὁμιλίαι τοῦ Παύλου εὑρίσκονται ἐν τοῖς Πρ. τῆς ἐν Ἐφ. Συν. Mansi T. V, coll. 293—302· ἡ δὲ κατὰ τὴν περίστασιν ταύτην ἐκφωνηθεῖσα ὁμιλία τοῦ ἁγίου Κυρίλλου, ἐν τῷ 10ῳ. τόμ. τῶν Ἁπάντων αὐτοῦ, σελ. 989—991, καὶ ἐν τοῖς Πρ. τῆς Ἐφέσῳ Συν. Mansi T. V, coll. 354—355. Ἐπιγράφεται δέ: „εἰς τὸν προεξηγησάμενον, καὶ εἰς τὴν ἐνανθρώπησιν τοῦ Κυρίου." Πρβ. Tillemont l. c. Art. CVIII p. 536—538.

2) Ἐπ. μ'.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*παρατάσει τῆς ὑποθέσεως ταύτης λυπούμενος. Οὗτος ἀνεδέξατο ἐνωμότως, ὅτι οὐκ ἀπολεσθήσονται τὰ κοινωνικά, καὶ εἶπεν, „ἐὰν μὴ θελήσῃ (ὁ Ἰωάννης) ὑπογράψαι, εὐθυδρομῶ ἐν τῇ Κωνσταντινουπόλει, ἀναδιδάσκων τὸν εὐσεβέστατον ἡμῶν βασιλέα, ὅτι παρὰ τὴν Ἀλεξανδρέων ἐκκλησίαν οὐδέν, ἀλλ' ὁ τῆς Ἀντιοχέων ἐκκλησίας ἐστὶν ὁ μὴ ἀγαπήσας τὴν εἰρήνην.“*[1])

§. 76. *Προβάλλων ο ἅγιος Κύριλλος τοὺς πρὸς συνδιαλλαγὴν μνημονευθέντας ὅρους, οὐδοπωςτιοῦν προυδίδου τὰς τῆς πίστεως ἀληθείας, ὑπὲρ ἧς μετ' ἐνθέου ζήλου πρό τε τῆς ἐν Ἐφέσῳ Συνόδου καὶ κατ' αὐτὴν ἠγωνίσατο. Οὐ μὴν ἀλλὰ διεδόθη ἐν Κωνσταντινουπόλει καὶ ἀλλαχοῦ, ὅτι ἠρνήσατο καὶ κατεδίκασε πᾶν ὅ,τι μέχρις ἐκείνου ἔγραψε κατὰ Νεστορίου. Πρὸς ἀναίρεσιν τῆς φήμης ταύτης ἔγραψε πρὸς τοὺς ἐκ Κωνσταντινουπόλεως ἀντεπιστέλλοντας αὐτῷ πρεσβυτέρους Θεόγνωστον καὶ Χαρμόσυνον, καὶ Λεόντιον διάκονον, ἀγγέλλων αὐτοῖς τίνι τρόπῳ ἐδέξατο εἰς κοινωνίαν Παῦλον τὸν Ἐμέσης. „Οὐ γὰρ οὕτω, λέγει, λεληρήκαμεν, ὥστε ἀναθεματίσαι τὰ ἑαυτῶν· ἀλλ' ἐμμένομεν οἷς γεγράφαμεν καὶ φρονοῦμεν. Ὀρθὰ γάρ ἐστι καὶ ἀδιάβλητα, καὶ ταῖς θείαις συμβαίνοντα Γραφαῖς, καὶ τῇ πίστει τῇ ἐκτεθείσῃ παρὰ τῶν ἁγίων ἡμῶν Πατέρων.“*[2])

§. 77. *Ὁ Ἀντιοχείας Ἰωάννης ἔγραψε τέλος ἐπιστολὴν τῷ ἁγίῳ Κυρίλλῳ, ἐν ᾗ λέγει ὅτι, περὶ πλείστου ποιούμενος τὴν εἰρήνην τῆς Ἐκκλησίας καὶ ὑπείκων τοῖς τοῦ αὐτοκράτορος γράμμασιν, ἀπέστειλεν αὐτῷ τὸν Ἐμέσης Παῦλον πρὸς τὸ τυπωθῆναι οὕτω τὴν εἰρήνην. Ἐν τῇ ἐπιστολῇ δὲ ταύτῃ ἐκφέρεται ἡ ὁμοφώνως παρ' αὐτοῦ τοῦ Ἰωάννου καὶ Ἀκακίου καὶ τῶν σὺν αὐτῷ ἐπισκόπων γενομένη περὶ τῆς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐνανθρωπήσεως ἔκθεσις. Ἔχει δὲ αὕτη ὧδε: „Περὶ δὲ τῆς Θεοτόκου Μαρίας Παρθένου, ὅπως καὶ φρονοῦμεν, καὶ λέγομεν, τοῦ τε τρόπου τῆς ἐνανθρωπήσεως τοῦ Μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, ἀναγκαίως, οὐκ ἐν προσθήκης*

---

1) *Ἐπ. λζ'.*

2) *Αὐτόθι. Ἡ ἐπιστολὴ αὕτη εὕρηται ἐν τῷ* 10ω. *τόμῳ τῶν Ἀπ. τοῦ ἁγ. Κυρίλλου, σελ.* 168—169 *καὶ* in Synod. adv. trag. Irenaei c. 85. *Ὅρα αὐτόθι.* Scholion Chr. Lupi *καὶ* Syn. adv. trag. Irenaei c. 92. 203, *καὶ ἐπ. μη' τοῦ ἁγ. Κυρίλλου πρὸς Δόνατον* T. 10 *σελ.* 249—253. *Πρβλ.* Tillemont I. c. Art. CIX—X (pg. 539—542).

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μέρει, ἀλλ' ἐν πληροφορίας εἴδει, ὡς ἄνωθεν ἔκ τε τῶν θείων Γραφῶν, ἔκ τε τῆς παραδόσεως τῶν ἁγίων Πατέρων παρειληφότες ἐσχήκαμεν, διὰ βραχέων ἐροῦμεν, οὐδὲν τὸ σύνολον προστιθέντες τῇ τῶν ἁγίων Πατέρων τῶν ἐν Νικαίᾳ ἐκτεθείσῃ πίστει. Ὡς γὰρ ἔφθημεν εἰρηκότες, πρὸς πᾶσαν ἐξαρκεῖ καὶ εὐσεβείας γνῶσιν, καὶ πάσης αἱρετικῆς κακοδοξίας ἀποκήρυξιν. Ἐροῦμεν δὲ οὐ κατατολμῶντες τῶν ἀνεφίκτων, ἀλλὰ τῇ ὁμολογίᾳ τῆς οἰκείας ἀσθενείας ἀποκλείοντες τοῖς ἐπιφύεσθαι βουλομένοις, ἐν οἷς τὰ ὑπεράνθρωπα διασκεπτόμεθα. Ὁμολογοῦμεν τοιγαροῦν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ τὸν Μονογενῆ, Θεὸν τέλειον, καὶ ἄνθρωπον τέλειον ἐκ ψυχῆς λογικῆς καὶ σώματος, πρὸ αἰώνων μὲν ἐκ τοῦ Πατρὸς γεννηθέντα κατὰ τὴν Θεότητα, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, ἐκ Μαρίας τῆς Παρθένου κατὰ τὴν ἀνθρωπότητα· ὁμοούσιον τῷ Πατρί, τὸν αὐτὸν κατὰ τὴν Θεότητα, καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα. Δύο γὰρ φύσεων ἕνωσις γέγονε· διὸ καὶ ἕνα Χριστόν, ἕνα Υἱόν, ἕνα Κύριον ὁμολογοῦμεν. Κατὰ ταύτην τὴν τῆς ἀσυγχύτου ἑνώσεως ἔννοιαν, ὁμολογοῦμεν τὴν ἁγίαν Παρθένον Θεοτόκον, διὰ τὸ τὸν Θεὸν Λόγον σαρκωθῆναι, καὶ ἐνανθρωπῆσαι, καὶ ἐξ αὐτῆς τῆς συλλήψεως ἑνῶσαι ἑαυτῷ τὸν ἐξ αὐτῆς ληφθέντα ναόν. Τὰς δὲ εὐαγγελικὰς καὶ ἀποστολικὰς περὶ τοῦ Κυρίου φωνάς, ἴσμεν τοὺς θεολόγους ἄνδρας τὰς μὲν κοινοποιοῦντας, ὡς ἐφ' ἑνὸς προσώπου, τὰς δὲ διαιροῦντας, ὡς ἐπὶ δύο φύσεων· καὶ τὰς μὲν θεοπρεπεῖς κατὰ τὴν Θεότητα τοῦ Χριστοῦ, τὰς δὲ ταπεινὰς κατὰ τὴν ἀνθρωπότητα αὐτοῦ παραδιδόντας. Ἧς δεχθείσης, συνήρεσεν, εἰς ἀναίρεσιν ἁπάσης φιλονεικίας, καὶ ὑπὲρ τοῦ τὴν οἰκουμενικὴν εἰρήνην βραβευθῆναι ταῖς τοῦ Θεοῦ ἁγίαις ἐκκλησίαις, καὶ ἐκποδὼν τὰ ἀναφυέντα γενέσθαι σκάνδαλα, ἔχειν ἡμᾶς Νεστόριον καθῃρημένον, τὸν πάλαι γενόμενον ἐπίσκοπον τῆς Κωνσταντινουπόλεως· καὶ ἀναθεματίζομεν τὰς φαύλας αὐτοῦ καὶ βεβήλους κενοφωνίας, διὰ τὸ τὰς παρ' ἡμῖν ἁγίας τοῦ Θεοῦ ἐκκλησίας τὴν ὀρθὴν καὶ ὑγιῆ ἐσχηκέναι πίστιν, καὶ φυλάττειν, καὶ παραδιδόναι τοῖς λαοῖς, καθὰ καὶ ἡ ὑμετέρα ὁσιότης. Συναινοῦμεν δὲ καὶ τῇ χειροτονίᾳ τοῦ ὁσιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Μαξιμιανοῦ τῆς Κωνσταντινουπόλεως ἁγίας τοῦ Θεοῦ ἐκκλησίας· καὶ κοινωνοὶ πᾶσίν ἐσμεν τοῖς κατὰ πᾶσαν τὴν οἰκουμένην θεο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σεβεστάτοις ἐπισκόποις, ὅσοι τὴν ὀρθὴν καὶ ἀμώμητον πίστιν ἔχουσί τε καὶ κηρύττουσιν . . ."[1])

§. 78. Ὁ θεσπέσιος Κύριλλος, περιχαρὴς γενόμενος ἐπὶ τῇ ὑπὸ τοῦ Ἰωάννου παραδοχῇ τῶν ἀποσταλέντων αὐτῷ ὅρων τῆς διαλλαγῆς, ὥςπερ καὶ ἐπὶ τῇ ὑπ' αὐτοῦ καὶ τῶν σὺν αὐτῷ ἐπισκόπων γενομένῃ ἐκθέσει τῆς πίστεως, ἀπεκρίνατο αὐτῷ δι' ἐπιστολῆς, περιφήμου καταστάσης κατόπιν, ἧς ἡ ἀρχὴ ἔχει ὧδε: „Εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ. Λέλυται γὰρ τὸ μεσότοιχον τοῦ φραγμοῦ, καὶ πέπαυται τὸ λυποῦν, καὶ διχονοίας πάσης ἀνῄρηται τρόπος, τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ ταῖς ἑαυτοῦ ἐκκλησίαις τὴν εἰρήνην βραβεύσαντος." Τῇ ἐπιστολῇ ταύτῃ προσέγραψε τὴν ὁμολογίαν τῆς πίστεως, ἣν ἀπέστειλεν αὐτῷ ὁ Ἰωάννης, διαβεβαιούμενος, ὅτι εὕρισκεν αὐτὴν ὀρθοδοξοτάτην, καὶ ὅτι ἐφρόνει τὰ αὐτὰ αὐτῷ τε καὶ τοῖς ἄλλοις ἐπισκόποις τῆς Ἀνατολῆς. Ἔπειτα, διασαφῶν τὴν διδασκαλίαν αὐτοῦ, ἀνασκευάζει τὴν κατηγορίαν τῶν ἐναντίων, ὅτι δῆθεν ἐδίδασκε κατακομισθῆναι τὸ ἅγιον σῶμα τοῦ Χριστοῦ ἐξ οὐρανοῦ καὶ οὐχὶ ἐκ τῆς ἁγίας Παρθένου γεννηθῆναι. „Ὦ ἀνόητοι, λέγει, καὶ μόνον εἰδότες τὸ συκοφαντεῖν, πῶς εἰς τοῦτο παρηνέχθητε γνώμης, καὶ τοσαύτην νενοσήκατε τὴν μωρίαν; Ἔδει γάρ, ἔδει σαφῶς ἐννοεῖν, ὅτι σχεδὸν ἅπας ἡμῖν ὁ περὶ τῆς πίστεως ἀγὼν συγκεκρότηται διαβεβαιουμένοις ὅτι Θεοτόκος ἐστὶν ἡ ἁγία Παρθένος. Ἀλλ' εἴπερ ἐξ οὐρανοῦ, καὶ οὐκ ἐξ αὐτῆς τὸ ἅγιον σῶμα γεγεννῆσθαί φαμεν τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, πῶς ἂν ἔτι νοοῖτο Θεοτόκος; Τίνα γὰρ ὅλως τέτοκεν, εἰ μή ἐστιν ἀληθές, ὅτι γεγέννηκε κατὰ σάρκα τὸν Ἐμμανουήλ . . .;[2]) Καίτοι γεγέννηται κατὰ σάρκα, καθάπερ ἔφην ἀρτίως, ἐκ τῆς ἁγίας Παρθένου. ἐπειδὴ δὲ ἄνωθεν, καὶ ἐξ οὐρανοῦ καταφοιτήσας ὁ Θεὸς Λόγος κεκένωκεν ἑαυτόν, μορφὴν δούλου λαβών, καὶ κεχρημάτικεν Υἱὸς ἀνθρώπου μετὰ τοῦ μεῖναι ὃ ἦν, τοῦτ' ἔστι Θεός (ἄτρεπτος γὰρ καὶ ἀναλλοίωτος κατὰ φύσιν ἐστίν),

---

1) Ἡ ἐπιστολὴ αὕτη τοῦ Ἰωάννου εὕρηται ὡσαύτως ἐν ταῖς τοῦ Κυρίλλου· ἐπ. λη', καὶ ἐν τοῖς Πρ. τῆς ἐν Ἐφ. Συν. Mansi T. V, coll. 289—292. Πρβ. Κυρ. ἐπιστ. μ'. μη' καὶ ν'. Tillemont Art. CX p. 542—543.

2) Ὅτι Θεοτόκος ἡ ὑπεραγία Παρθένος ἀποδείκνυσιν ἀποχρώντως καὶ ὁ ἅγιος Ἰωάννης ὁ Δαμασκηνὸς ἐν Ἐκδ. τῆς Ὀρθοδ. Πιστ. βιβλ. γ'. κεφάλ. ιβ'.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*ὡς εἷς ἤδη νοούμενος μετὰ τῆς ἰδίας σαρκός, ἐξ οὐρανοῦ λέγεται κατελθεῖν. Ὠνόμασται δὲ καὶ ἄνθρωπος ἐξ οὐρανοῦ, τέλειος ὢν ἐν Θεότητι, καὶ τέλειος ὁ αὐτὸς ἐν ἀνθρωπότητι, καὶ ὡς ἐν ἑνὶ προσώπῳ νοούμενος. Εἷς γὰρ Κύριος Ἰησοῦς Χριστός, κἂν ἡ τῶν φύσεων μὴ ἀγνοῆται διαφορά, ἐξ ὧν τὴν ἀπόρρητον ἕνωσιν πεπρᾶχθαι φαμέν.“ Ἐπειδὴ δὲ κατηγόρουν αὐτοῦ, ὅτι δῆθεν ἐφρόνει γενέσθαι κρᾶσιν, ἢ σύγχυσιν, ἢ φυρμὸν τοῦ Θεοῦ Λόγου πρὸς τὴν σάρκα, λέγει: „Ἐγω δὲ τοσοῦτον ἀφέστηκα τοῦ φρονῆσαί τι τοιοῦτον, ὥστε καὶ μαίνεσθαι νομίζω τοὺς οἰηθέντας ὅλως, ὅτι τροπῆς ἀποσκίασμα περὶ τὴν τοῦ Θεοῦ Λόγου φύσιν συμβῆναι δύναται . . .“ Μετὰ δὲ ταῦτα ἐπιπροστίθησιν ὅτι ἀκολουθεῖ ἐν πᾶσι ταῖς τῶν ἁγίων Πατέρων δόξαις, μάλιστα δὲ ταῖς τοῦ μακαρίου καὶ πανευφήμου Ἀθανασίου, καὶ τῇ ἐκτεθείσῃ ὑπὸ τῶν εἰς Νίκαιαν συνελθόντων ἁγίων Πατέρον πίστει, ἄνευ τοῦ ἀμεῖψαι λέξιν τῶν ἐν αὐτῇ ἐγκειμένων, ἢ μίαν γοῦν παραθεῖναι συλλαβήν. „Οὐ γὰρ ἦσαν αὐτοὶ οἱ λαλοῦντες, ἀλλ' αὐτὸ τὸ Πνεῦμα τοῦ Θεοῦ καὶ Πατρός· ὃ ἐκπορεύεται μὲν ἐξ αὐτοῦ, ἔστι δὲ οὐκ ἀλλότριον τοῦ Υἱοῦ κατὰ τὸν τῆς οὐσίας λόγον . .“ Μαθὼν δὲ ὅτι ἡ πρὸς τὸν μακάριον Ἐπίκτητον ἐπιστολὴ τοῦ πανευφήμου Ἀθανασίου, ἣν πολλάκις ἐπήγετο πρὸς ὑποστήριξιν τῶν ἑαυτοῦ δοξασιῶν, ἐξοδόθη ἐφθαρμένη ὑπό τινων πρὸς ζημίαν πόλλων, πλημμελοῦς ἀντιγράφου ἀποσταλέντος καὶ αὐτῷ ὑπὸ τῶν Ἀνατολικῶν διὰ Παύλου τοῦ Ἐμέσης, ἀπέστειλε τῷ Ἰωάννῃ ἀντίγραφον αὐτῆς ἐπιδιωρθωμένον κατ' ἀντίγραφα ἀρχαιότερα.*[1]

§. 79. *Βουλόμενος ὁ θεσπέσιος Διδάσκαλος καταστῆσαι τὸ ποίμνιον αὐτοῦ κοινωνὸν τῆς χαρᾶς, ἣν ἐπὶ τῇ πρὸς τοὺς Ἀνατολικοὺς διαλλαγῇ ᾔσθετο, ἐξεφώνησε τῇ μγ' Ἀπριλίου τοῦ* 433 *ὁμιλίαν, εὐχαριστῶν τῷ Κυρίῳ ἐπὶ τῇ καταπαύσει τῶν ἐκ τῆς αἱρέσεως τοῦ Νεστορίου προελθουσῶν ἐρίδων.*[2] Τὸ

1) *Ἡ ἐπιστολὴ αὕτη τοῦ ἁγίου Κυρίλλου εὕρηται ἐν τῷ Ι' τόμῳ τῆς ἐκδ. τοῦ* Migne *σελ.* 173—181, *καὶ ἐν τοῖς Πρακ. τῆς ἐν Ἐφ. Συν.* ap. Mansi T. V, coll. 301—310. *Πρβ. καὶ* Syn. adv. trag. Irenaei c. 2 et 86. Facundi Hermiani Defens. trium capit. l. I. c. 5 *καὶ ἅγ. Εὐλόγ. τὸν Ἀλεξ. παρὰ Φωτίῳ ἀνάγν.* 230, *σελ.* 442. *Πρβλ. ὡσαύτως* Tillemont Art. CXI—XII p. 543—547. Baron. Annal. ad a. 432. n. 77. 78 et 83.

2) *Ἡ ὁμιλία αὕτη τοῦ ἁγίου Κυρίλλου, ἢ μᾶλλον τὸ προοίμιον αὐτῆς, εὕρηται λατινιστὶ μόνον ἐν τοῖς Πρ. τῆς Εφ. Συν.* (Mansi T. T, coll. 289—290), *ἑλληνιστὶ δ' ἐξεδόθη ὑπὸ τοῦ κλεινοῦ Καρδιναλίου Ἀγγέλλου*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χαρμόσυνον τοῦτο συμβεβηκὸς ἐμήνυσε τῷ διαδόχῳ τοῦ Πάπα Κελεστίνου Ξύστῳ[1]), Δονάτῳ τῷ Νικοπόλεως, καὶ Μαξιμιανῷ τῷ Κωνσταντινουπόλεως. „Οὐκ ἔρις (γράφει τῷ Μαξιμιανῷ), καὶ φιλονεικία κρατεῖ παρ' ἡμῖν· ἀλλ' ἕνα σκοπὸν ἅπαντες ἐσχήκαμεν πρὸς εἰρήνην βλέποντα. Καὶ εἴπερ ἠθέλησαν οἱ ἐξ ἀρχῆς ἡμῖν διχονοήσαντες, καὶ ἑαυτοὺς ἡμῶν ἀποτεμόντες, οὐδ' ἂν ὅλως γέγονέ τις ἔρις καὶ διαφορὰ τῶν ἐκκλησιῶν. Πλὴν εὐλογητὸς ὁ Σωτὴρ, ὁ τὸν χειμῶνα καταπαύσας, καὶ τὴν τῆς ὁμοψυχίας ἡμῖν ἁπλώσας γαλήνην εὐχαῖς καὶ πρεσβείαις τῆς σῆς ὁσιότητος, καὶ τῶν ἄλλων δὲ πάντων, ὅσοι πίστιν ἔχοντες ὀρθὴν καὶ εἰλικρινῆ, τὴν ἐν Πνεύματι καὶ ἀληθείᾳ προσκύνησιν, καὶ λατρείαν τελοῦσιν αὐτῷ.“[2])·

§. 80. Ἡ εἰρήνη τῆς ἁγίας τοῦ Θεοῦ καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ Ἐκκλησίας ἀποκατέστη τελεία σχεδὸν μετὰ τὴν Ἰωάννου τοῦ Ἀντιοχείας καὶ τοῦ θεσπεσίου Κυρίλλου διαλλαγήν. Ἐνέμενον ὅμως ἔνιοι τῇ ἑαυτῶν πλάνῃ, καὶ σφόδρα, ὡς ἔοικεν, ἐπὶ τῇ εἰρήνῃ ἀχθόμενοι, ἐσπούδαζον παντὶ σθένει ταράττειν αὐτήν, συκοφαντοῦντες τοὺς δίχα φρονοῦντας αὐτοῖς, καὶ διαβεβαιούμενοι ὅτι ὁ ἅγιος Κύριλλος ἠρνήσατο τὰ ὑφ' ἑαυτοῦ πρότερον γεγραμμένα, καὶ ὅτι ἐδόξαζεν παντελῶς ἐναντία τῇ ὑφ' ἑαυτοῦ ὑποστηριχθείσῃ πρότερον διδασκαλίᾳ. Καθήπτοντο δὲ καὶ τῆς ὁμολογίας τῶν Ἀνατολικῶν, λέγοντες ὅτι οὐκ ἔδει αὐτοὺς ποιήσασθαι νέαν ὁμολογίαν τῆς πίστεως μετὰ τὴν ὑπὸ τῆς ἐν Νικαίᾳ Συνόδου ὁρισθεῖσαν, καὶ ὅτι αὕτη οὐδαμῶς ἦν ἀλλοία τῶν τοῦ Νεστορίου δοξασιῶν. Τοσοῦτον δὲ ὑπὸ τοῦ

---

Μαΐου in Script. vet. nov. collect. T. VIII. P. II. p. 149, καὶ ὑπὸ τοῦ Migne ἐν τῷ Ι', τόμ. τῶν ἁπάντ. τοῦ ἁγ. Κυρίλλου, σελ. 1096. Πρβλ. Tillemont Art. CXII. p. 547. not. 76. p. 782—783, καὶ Pagi Crit. ad a. 432. n. 7.

1) Ἡ πρὸς τὸν Ξύστον ἢ Σίξτον ἐπιστολὴ οὐ διεσώθη· γίνεται δὲ μνεία αὐτῆς ἐν τῇ ἐπιστολῇ αὐτοῦ τοῦ Ξύστου πρὸς τὸν ἅγιον Κύριλλον. Πρὸς τὸν αὐτὸν πάπαν ἔγραψε καὶ ὁ Ἀντιοχείας Ἰωάννης περὶ τῆς αὐτῆς ὑποθέσεως. Τὴν ἐπιστολὴν τοῦ ἁγίου Κυρίλλου ἔλαβεν ὁ Ξύστος καθ' ὃν χρόνον συνεκρότει σύνοδον μετὰ τῶν ἀφικομένων εἰς Ῥώμην ἐπισκόπων, ὅπως ἑορτάσωσι τὴν ἐπέτειον τῆς χειροτονίας αὐτοῦ ἡμέραν. Ἅπας ὁ λαὸς τῆς μεγαλοπόλεως ταύτης ἦν συνηθροισμένος ἐν τῷ ναῷ τοῦ ἁγίου Πέτρου ὅτε ἀφίκετο ἡ πανευφρόσυνος αὕτη ἀγγελία. Πρβ. Fleury Hist. Eccles. T. VI p. 184—185.

2) Ἐπ. μθ'. Ἡ ἐπιστολὴ αὕτη, ὡς καὶ ἡ πρὸς τὸν Δόνατον, εὕρηται ἐν τῷ Ι'. τόμ. τῆς ἐκδ. τοῦ Migne σελ. 249—257, καὶ ap. Mansi T. V p. 347—352. Πρβλ. καὶ Tillemont Art. CXIII p. 549.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κατέχοντος αὐτοὺς πάθους παρεξετράπησαν, ὥστε καὶ ἐπιστολὰς γράψαι ἐξ ὀνόματος δῆθεν τοῦ ἁγίου Κυρίλλου καί τινων ἐπισκόπων τῆς Ἀνατολῆς, περιεχούσας διδασκαλίαν σύμφωνον τῇ ἑαυτῶν, ἵνα οὕτω τοῦ σκοποῦ αὐτῶν τύχωσι.[1])

§. 81. Οὐ μόνον δὲ οἱ Νεστοριανοὶ ἔλεγον καὶ ἐφρόνουν ὅτι ὁ ἅγιος Κύριλλος κατέλιπε πάντα τὰ ὑπ' αὐτοῦ κατὰ Νεστορίου γεγραμμένα, ἀλλὰ καὶ τῶν ὀρθοδόξων οὐκ ὀλίγοι. Τούτων τινὲς ἡγοῦντο ὅτι ἡ τῶν Ἀνατολικῶν ἔκθεσις οὐκ ἦν πάντη ἀκριβής, καὶ ἐθαύμαζον ὅτι ὁ ἅγιος Κύριλλος οὐ μόνον ἠνέσχετο αὐτήν, ἀλλὰ καὶ ἐπήνεσε τὴν περὶ τῶν δύο ἐν τῷ Ἰησοῦ Χριστῷ φύσεων ἔκφρασιν. Ταῖς φήμαις ταύταις ἐπίστευον, καθ' ἃ φαίνεται ἐκ τῶν τοῦ ἁγίου Κυρίλλου ἐπιστολῶν, ὁ ἀρχαῖος αὐτοῦ φίλος καὶ σοφὸς τῆς Μελιτηνῆς ἐπίσκοπος Ἀκάκιος, Οὐαλεριανὸς ὁ Ἰκονίου, Δόνατος ὁ Νικοπόλεως, Σούκενσος ὁ τῆς Διοκαισαρέων, καὶ ὁ ἐκ Κωνσταντινουπόλεως ἀντεπιστέλλων αὐτῷ πρεσβύτερος Εὐλόγιος.[2]) Τῷ Ἀκακίῳ ἔγραψεν ὁ θεῖος Πατὴρ μακρὰν ἐπιστολήν, ἐν ᾗ ἀφηγεῖται τὴν ἱστορίαν τῆς πρὸς τοὺς Ἀνατολικοὺς διαλλαγῆς, καὶ ἀποκρίνεται εἰς τὰς κατὰ τῆς ὁμολογίας τῶν Ἀνατολικῶν προβαλλομένας ἐνστάσεις, ὅτι δῆθεν αὕτη ἐγράφη οὐχ ὑπὸ τοῦ Ἀκακίου, ἀλλ' ὑπὸ τῶν Νεστοριανῶν. Ἐν αὐτῇ ἀποφαίνεται ὅτι ἡ ὁμολογία αὕτη ἐστὶν ἀκραιφνῶς ὀρθόδοξος, διότι ἡ ὁμολογία δύο ἐν τῷ Ἰησοῦ Χριστῷ φύσεων οὐκ ἔστιν ἡ αὐτὴ τῇ τῶν δύο προσώπων. „Ὅτι γὰρ οὐ μερίζουσιν εἰς δύο (λέγει) τὸν ἕνα Ἰησοῦν Χριστόν, χρῆναι λέγοντες ἐφαρμόζεσθαι τὰς φωνάς, τῇ μὲν Θεότητι αὐτοῦ τὰς θεοπρεπεῖς, τῇ δὲ ἀνθρωπότητι πάλιν αὐτοῦ τὰς ἀνθρωπίνας, πῶς οὐχ ἅπασιν ἐναργές; Διαβεβαιοῦνται γάρ, ὡς ἔφην, ὅτι αὐτὸς ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος, γεννηθεὶς πρὸ αἰώνων, καὶ ἐν ἐσχάτοις καιροῖς ἐγεννήθη κατὰ σάρκα ἐκ τῆς ἁγίας Παρθένου.“ Αὐτὸ δὲ τοῦτο ἀναπτύσσει καὶ ἐν ταῖς πρὸς Εὐλόγιον, καὶ Οὐαλεριανόν, καὶ Σούκενσον ἐπιστολαῖς.[3])

---

1) Tillemont Art. CXIX p. 565—567.

2) Καὶ ὁ ἅγιος Ἰσίδωρος ὁ Πηλουσιώτης ἐπίστευε ταῖς κατὰ του θεσπεσίου Κυρίλλου διαδιδομέναις φήμαις, ὡς γίνεται δῆλον ἐκ τῆς το'. ἐπιστ. αὐτοῦ, βιβλ. Α'.

3) Ἐπ. μ'. Ἡ πρὸς τὸν Ἀκάκιον ἐπιστολὴ εὕρηται καὶ ἐν τοῖς Πρ. τῆς ἐν Ἐφ. Συν. ap. Mansi T. V, coll. 309—326. Ἐν ταύτῃ ἐκλαμβάνων ὁ θεῖος Πατὴρ τὴν λέξιν φύσιν ἀντὶ τῆς λέξεως πρόσωπον, ἐπιπροστίθησι: „Μία γὰρ ὁμολογουμένως ἡ τοῦ Λόγου φύσις.“ Τὴν ἐκ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

§. 82. *Ἐν τοῖς Ἀνατολικοῖς ὑπῆρχον οὐ μόνον λαϊκοί τινες, ἀλλὰ καὶ κληρικοί, οὔπω τελείως τῆς πρότερον αὐτῶν νόσου ἀπαλλαγέντες καὶ τὴν κατὰ Νεστορίου νίκην τῆς ἁγίας Ἐκκλησίας χαλεπῶς φέροντες. Ὁ Ἀντιοχείας Ἰωάννης ἠνείχετό τινας τῶν ἐκκλησιαστικῶν αὐτοῦ διδάσκοντας ἐπ' ἐκκλησίας διδασκαλίαν ἀτεχνῶς ἐναντίαν τῇ τε ὀρθοδόξῳ καθόλου καὶ τῇ ὑπ' αὐτοῦ τούτου προς τὸν Κύριλλον ἐκτεθείσῃ ὁμολογίᾳ, καί οὐδὲ ἐλέγξαι τούτους ἠβούλετο, ἐγκαλουμένους ὅτι ἐφρόνουν τὰ τοῦ Νεστορίου. Εἰ καὶ τοῦτο οὐ σμικρὸν ἐλύπει τὸν μέγαν τῆς ὀρθοδοξίας πρόμαχον Κύριλλον, ὅμως παρεμυθεῖτο ὅτι οἱ Ἀνατολικοὶ ἀνωμολόγουν καὶ ἐκήρυττον ἕνα μόνον Ἰησοῦν Χριστόν, καὶ ὅτι ἀνεθεμάτισαν, εἴτε ἐξ ἀληθοῦς πίστεως, εἴτε καὶ καθ' ὑπόκρισιν, τὸν Νεστόριον. Ἔχαιρεν ὅτι πάντα ἦσαν ἐν εἰρήνῃ, ἣν οὐκ ἠβούλετο διαταράξαι, νομίζων ὅτι ἡ ὑπόκρισις, ἢ ἡ ἀσθένεια ὀλίγων τινῶν, οὐκ ἐκώλυε τοὺς κλονι-*

---

*φρασιν ταύτην ἀναπτύσσει ἐνταῦθά τε καὶ ἐν τῇ πρὸς Σούκενσον πρώτῃ ἐπιστολῇ, ἔνθα λέγει: „μετὰ μέντοι τὴν ἕνωσιν οὐ διαιροῦμεν τὰς φύσεις ἀπ' ἀλλήλων, οὐδὲ εἰς δύο τέμνομεν Υἱοὺς τὸν ἕνα καὶ ἀμέριστον, ἀλλ' ἕνα φαμὲν Υἱὸν, καὶ ὡς οἱ Πατέρες εἰρήκασι, μίαν φύσιν τοῦ Θεοῦ Λόγου σεσαρκωμένην." Ἐν τῇ δευτέρᾳ πρὸς τὸν αὐτὸν Σούκενσον ἐπιστολῇ ἑρμηνεύων πάλιν τὴν ἔκφρασιν ταύτην λέγει: „Εἰ μὲν γὰρ μίαν εἰπόντες τοῦ Λόγου φύσιν, σεσιγήκαμεν, οὐκ ἐπενεγκόντες τὸ, σεσαρκωμένην, ἀλλ' οἷον ἔξω τιθέντες τὴν οἰκονομίαν, ἦν αὐτοῖς τάχα που καὶ οὐκ ἀπίθανος λόγος, προσποιουμένοις ἐρωτᾷν· εἰ μία φύσις τὸ ὅλον, ποῦ τὸ τέλειον ἐν ἀνθρωπότητι, ἢ πῶς ὑφέστηκεν ἡ καθ' ἡμᾶς οὐσία; Ἐπειδὴ δὲ, καὶ ἡ ἐν ἀνθρωπότητι τελειότης, καὶ τῆς καθ' ἡμᾶς οὐσίας ἡ δήλωσις εἰσκεκόμισται διὰ τοῦ λέγειν, σεσαρκωμένην, παυσάσθωσαν καλαμίνην ῥάβδον ἑαυτοῖς ὑποστήσαντες". Τὸ χωρίον τοῦτο παραγαγὼν ὁ σοφώτατος ἅγιος Ἰωάννης ὁ Δαμασκηνός, συνεπάγεται τάδε: „Ἐνταῦθα μὲν οὖν τὴν φύσιν τοῦ Λόγου ἐπὶ τῆς φύσεως ἔταξεν. Εἰ γὰρ ἀντὶ ὑποστάσεως τὴν φύσιν παρείληφεν, οὐκ ἄτοπον ἦν, καὶ δίχα τοῦ, σεσαρκωμένην, τοῦτο εἰπεῖν· μίαν γὰρ ὑπόστασιν τοῦ Θεοῦ Λόγου ἀπολύτως λέγοντες οὐ σφαλλόμεθα· ὁμοίως δὲ καὶ Λεόντιος ὁ Βυζάντιος ἐπὶ τῆς φύσεως τὸ ῥητὸν ἐνόησεν, οὐκ ἀντὶ τῆς ὑποστάσεως. Ἐν δὲ τῇ πρὸς τὰς Θεοδωρήτου μέμψεις τοῦ δευτέρου ἀναθεματισμοῦ ἀπολογίᾳ, οὕτω φησὶν ὁ μακάριος Κύριλλος: Ἡ φύσις τοῦ Λόγου, ἤγουν ἡ ὑπόστασις, ὅ ἐστιν αὐτὸς ὁ Λόγος. Ὥστε τὸ εἰπεῖν, φύσιν τοῦ Λόγου, οὔτε τὴν ὑπόστασιν μόνην σημαίνει, οὔτε τὸ κοινὸν τῶν ὑποστάσεων, ἀλλὰ τὴν κοινὴν φύσιν ἐν τῇ τοῦ Λόγου ὑποστάσει ὁλικῶς θεωρουμένην" (Ἔκδ. ὀρθ. Πίστ. βιβλ. γ'. κεφ. 11). Ἐκ τῶν νεωτέρων πρβλ.* Dupin T. IV p. 324—325. Tillemont Art. CVII p. 534. Ceillier Art. III. n. 8. p. 381. Chr. Lupus in Notis ad Synodicon Cassin. c. 84 (Opp. T. VII p. 230—235), *καὶ πρὸ πάντων* Dogm. Theolog. D. Petavii, de incarnatione lib. IV. c. 6—8.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*σθέντας ποτὲ στηρίζεσθαι ἐπὶ μᾶλλον καὶ μᾶλλον ἐν τῇ πίστει. Ἀλλὰ τοῦ Ἰωάννου κοινωνοῦντος τοῖς οὐχὶ εἰλικρινῶς διαλλαγεῖσι Νεστοριανοῖς, ταραχαὶ νέαι ἐπηκολούθησαν. Μάξιμός τις, διάκονος τῆς ἐκκλησίας τῆς Ἀντιοχείας, καὶ ἄλλοι, παρητοῦντο τὴν μετὰ τοῦ ἀρχιεπισκόπου αὐτῶν κοινωνίαν δι' αὐτὸ δὴ τοῦτο, ὅτι ἐκοινώνει τοῖς Νεστοριανοῖς. Μαθὼν τοῦτο ὁ ἅγιος Κύριλλος παρά τινος μοναχοῦ Παύλου τὸ ὄνομα, ἔγραψε πρὸς τὸν Μάξιμον εἰς διάπειραν ἐλθεῖν, „εἰ γυμνῶς καὶ ἀναισχύντως τὰ τοῦ Νεστορίου καὶ φρονοῦσι καὶ λέγουσιν ἑτέροις, ἢ κεκαυτηριασμένην μὲν ἐσχήκασί ποτε τὴν συνείδησιν, συνάγονται δὲ νῦν μεταμεληθέντες ἐφ' οἷς συνηρπάγησαν, αἰσχυνόμενοι δὲ ἴσως ὁμολογεῖν τὸ πταῖσμα. Συμβαίνει γάρ τινα τοιαῦτα περὶ τοὺς ἀπατηθέντας γίνεσθαι. Κἂν ειδῇς συντρέχοντας νῦν τῇ ὀρθῇ πίστει, ἀμνησικάκει περὶ τῶν παρελθόντων. Βουλόμεθα γὰρ μᾶλλον ἀρνουμένους αὐτοὺς ὁρᾶν, ἢ ἀναισχύντῳ γνώμῃ συνηγοροῦντας ταῖς Νεστορίου κακίαις· ἵνα δὲ μὴ δοκῶμεν τιμᾶν τὸ φιλόνεικον, ἀσπασώμεθα τὴν πρὸς τὸν εὐλαβέστατον ἐπίσκοπον Ἰωάννην κοινωνίαν, συγχωροῦντες αὐτῷ, καὶ οἰκονομίας ἕνεκα μὴ ἀκριβολογούμενοι σφόδρα περὶ τοὺς μεταγινώσκοντας. Οἰκονομίας γάρ, ὡς ἔφην, δεῖται τὸ πρᾶγμα πολλῆς.*“[1])

§. 83. *Ὁ αὐτὸς Μάξιμος ἔγραψε πρὸς τὸν θεσπέσιον Κύριλλον κατὰ Μωσαίου ἢ Μωϋσέως, ἐπισκόπου τῆς ἐν Φοινίκῃ Ἀνταράδου, λέγων, ὅτι οὗτος ἐτήρει ἐν τῇ καρδίᾳ αὐτοῦ τὰ τοῦ Νεστορίου κατάκριτα δόγματα, καὶ ὅτι ἐξήνεγκε δεινὰς ἐν τῷ μοναστηρίῳ αὐτοῦ βλασφημίας. Ἡ ἀγγελία αὕτη οὐκ ὀλίγον ἐτάραξε τὸν ἅγιον Κύριλλον, ὃς ἐντεῦθεν ἐπαύσατο ἐπιστέλλειν τῷ Μωσαίῳ· οὗτος δ' ἔγραψεν αὐτῷ σιωπήσαντι διά τινος Θωμᾶ κατὰ τρόπον ἐξιλαστικόν. Ἐντεῦθεν ἀπεκρίνατο αὐτῷ εὐμενῶς ὁ ἅγ. Κύριλλος, δηλῶν ὅτι ἔχαιρεν ἐπὶ*

---

1) *Ἐπ. νζ'* *Οὗτός ἐστιν, ὡς φαίνεται, Μάξιμος ὁ διάκονος καὶ ἀρχιμανδρίτης, οὗ τὸν ζῆλον καὶ τὴν ὀρθότητα καὶ τὸ τῆς ἐν Χριστῷ εὐσεβείας κέντρον ἔγνω ὁ ἅγιος Κύριλλος, καὶ οὗ μεστὸς ἦν ὁ νοῦς φροντίδων, „ὥστε καὶ πάντα πόνον ὑπελθεῖν ἀνέχεσθαι ὑπὲρ τοῦ τὴν Νεστορίου κακοδοξίαν πρόρριζον ἐκ τῶν τῆς ἑώας ἀπολέσθαι μερῶν“, καθ' ἅ φησιν ὁ ἅγ. Κύριλλος (ἐπ. ξθ'.). Οὗτος ἀφικόμενος εἰς Ἀλεξάνδρειαν εἶπε τῷ ἁγίῳ Κυρίλλῳ, ὅτι οἱ ὀρθόδοξοι οὐδένα εἶχον τόπον ἐν Ἀντιοχείᾳ οὐδὲ παρρησίαν τοῦ λαλεῖν τὰ τῆς ὀρθῆς πίστεως (ἐπ. ο'.).* Tillemont Art. CXXXIX p. 624—626.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῷ μένειν αὐτὸν συνδεδεμένον ἀείποτε. Καὶ ταῦτα, λέγει, γράφω σοι, οὐ πάνυ μὲν πιστεύων τοῖς ῥηθεῖσιν, ἀλλὰ τὴν γνώμην τῆς σῆς ὁσιότητος βουλόμενος διαβεβαιώσασθαι." [1])

§. 84. Ὁ θεσπέσιος Κύριλλος ἔμαθε παρά τινος πρεσβυτέρου καὶ ἀρχιμανδρίτου, Ἀδαμαντίου καλουμένου, καὶ λίαν ἐπαινουμένου ὑπὸ τοῦ θείου Διδασκάλου, λέγοντος περὶ αὐτοῦ: „οὗ καὶ τὰ ἤθη καὶ τὸν τρόπον καὶ τὴν παιδείαν μετὰ τῆς περὶ τὴν πίστιν ὀρθότητος ἐθαύμασα", ὅτι ἐπίσκοποί τινες, μετὰ τὸ ἀναθεματίσαι τὸν Νεστόριον καὶ τὰ ἀσεβῆ αὐτοῦ δόγματα, οὐκ ἐπαύοντο ἐκεῖνόν τε καὶ ταῦτα ὑπερασπίζοντες. Ἐν τοῖς οὕτω φρονοῦσιν ἐτάχθησαν καὶ τρεῖς πρεσβύτεροι καὶ ἀρχιμανδρῖται ἐν Συρίᾳ, Μάξιμος, Ἰωάννης, καὶ Θαλάσσιος. Τοῖς τρισὶ τούτοις ἔγραψεν ὁ ἅγ. Κύριλλος βραχείας παραινέσεις [2]), δηλῶν ὅσον ἄτοπος καὶ ἐπικίνδυνός ἐστιν ἡ ὑπόκρισις· ἀπέστειλε δὲ αὐτοῖς καὶ τὴν περὶ ἐνσαρκώσεως πραγματείαν αὐτοῦ, ἐν ᾗ ἐφανέρου· α΄) ὅτι ἡ παναγία Παρθένος ἐστὶ Θεοτόκος· β΄) ὅτι εἷς ἐστιν ὁ Χριστός, καὶ οὐχὶ δύο· γ΄) ὅτι ὁ Λόγος τοῦ Θεοῦ, ὢν ἀπαθὴς Θεοῦ Λόγος, ἔπαθεν ὑπὲρ ἡμῶν τῇ ἰδίᾳ σαρκί. [3]) Μετὰ τοῦτο οὐκ ὀλίγοι ἐπίσκοποι, καὶ μάλιστα ἐκ Κιλικίας, ἐδέξαντο ἅπαντας τοὺς περὶ εἰρήνης ὅρους. [4])

§. 85. Ἀναχωρήσας ὁ Νεστόριος ἐξ Ἐφέσου κατὰ τὸν Σεπτέμβριον ἢ Ὀκτώβριον τοῦ 431, μετέβη, ὡς εἴπομεν, εἰς το οἰκεῖον μοναστήριον, τὸ τοῦ Εὐπρεπίου ὀνομαζόμενον, ἔνθα, ὡς αὐτὸς λέγει, παντοίων ἔτυχε τιμῶν καὶ παντοίων ἄθλων ἀπήλαυσε παρὰ τῶν οὐχ ὑπολαμβανόντων αὐτὸν αἱρετικόν, ἢ ἀδυνατούντων κατανοῆσαι τὴν ὑπόκρισιν αὐτοῦ. Οὐδαμῶς μετέβαλεν αὐτὸν ἡ καθαίρεσις, σπουδάζοντα καὶ ἐν τῇ ἐξορίᾳ διαδιδόναι τὴν ἑαυτοῦ αἵρεσιν. Ἐντεῦθεν ὁ Ῥώμης Κελεστῖνος, προβλέπων ὅτι ἡ ἐν Ἀντιοχείᾳ διατριβὴ αὐτοῦ ἔμελλεν εἶναι τῇ Ἐκκλησίᾳ πολὺ ἐπιζήμιος, ἔγραψε τῷ αὐτοκράτορι Θεοδοσίῳ τῇ ιε΄. Μαρτίου τοῦ 432 ἐξελάσαι αὐτὸν ἐκεῖθεν.

1) Καὶ ἡ ἐπιστολὴ αὕτη διεσώθη ὡσαύτως μόνον λατινιστί.

2) Διεσώθησαν ὡσαυτως μόνον λατινιστί, καὶ κατεχωρίσθησαν in Syn. Adv. trag. Irenaei c. 208 et 211.

3) Ἡ πραγματεία αὕτη οὐ διεσώθη εἰς ἡμᾶς.

4) Syn. Advers. Trag. Iren. c. 192. 195. 197. 199. Πρβλ. Tillemont Art. CXXXVII et CXXXIII p. 618—619, 620—621. Pagi crit. ad ann. 435. n. 5—13 et ann. 436. n. 4—8.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἀλλὰ καὶ οὕτω διέμεινεν ἐκεῖ ἐπὶ τέσσαρας ἐνιαυτούς. Τέλος ὁ τῆς πόλεως ταύτης ἐπίσκοπος Ἰωάννης, ὁρῶν τὴν ἐκ τούτου προσγινομένην τῇ ὀρθοδόξῳ Ἐκκλησίᾳ ζημίαν, παρεκάλεσε θερμῶς τὸν αὐτοκράτορα ἐκβαλεῖν αὐτὸν ὡς τάχιστα τῆς Ἀνατολῆς. Πεισθεὶς τῇ παρακλήσει τοῦ Ἰωάννου ὁ αὐτοκράτωρ, ἐθέσπισε φυγαδευθῆναι τὸν Νεστόριον ἀνὰ τὴν καλουμένην Οασιν.[1]) Ἐνταῦθα ἔγραψεν ὁ Νεστόριος διαλεκτικὸν λόγον πρός τινα δῆθεν Αἰγύπτιον περὶ τῆς εἰς τὸν τόπον τοῦτον ἐξορίας αὐτοῦ, ἀπολογούμενος ἐν αὐτῷ περί τε τῆς διαγωγῆς καὶ τῆς διδασκαλίας αὐτοῦ. Ἐνταῦθα διέτριβεν ἔτι τῷ 439. „Ὧν δὲ τέτυχηκε, λέγει ὁ Εὐάγριος, διὰ τὰς παρ' αὐτοῦ κινηθείσας βλασφημίας τὸν πανόπτην μὴ λαθὼν ὀφθαλμόν, ἐξ ἑτέρων γραμμάτων ἐστὶν ἑλεῖν, γενομένων αὐτῷ πρὸς τὸν τῆς Θηβαίων ἡγούμενον. Ἐν ἐκείνοις γάρ ἐστιν εὑρεῖν, ὡς, ἐπειδὴ μὴ τῆς δεούσης ἔτυχεν ἐπεξελεύσεως, ἡ τοῦ Θεοῦ κρίσις αὐτὸν ἐκδεξαμένη, αἰχμαλωσίᾳ τῇ πάντων ἐλεεινοτάτῃ συμφορᾷ, περιβάλλει. Ἐπειδὴ γοῦν μειζόνων ἐδεῖτο ποινῶν, ἀφείθη μὲν ἐκ τῆς Βλεμμύων, παρ' ὧν καὶ δορυάλωτος ἔτυχε γεγονώς· θεσπίσματι δὲ Θεοδοσίου τὴν ἐπάνοδον ἐγνωκότος, τόπους ἐκ τόπων πρὸς ταῖς ἐσχατιαῖς τῆς Θηβαίων ἀμείβων, τῇ τε γῇ προσρηγνύμενος, ἀξίως τῆς οἰκείας βιοτῆς τὸν τῇδε βίον ἀπέθετο.“[2])

§. 86. Ἐν τῷ αὐτῷ θεσπίσματι προσέταξεν ο αὐτοκράτωρ μηδένα τολμᾶν κατέχειν, ἢ ἀναγινώσκειν, ἢ μεταγράφειν

---

1) Εὐάγρ. Ἐκκλ. ἱστορ. α, 7. Ὁ Νεστόριος ὑπερωρίσθη θεσπίσματι τοῦ αὐτοκράτορος εἰς Πέτραν τῆς Ἀραβίας, ἔπειτα δέ, ὡς φαίνεται, μετήχθη εἰς Ὄασιν. Pagi ad. ann. 390. n. 4 etc. Ὁ αὐτοκράτωρ προσέταξεν ἔτι δημευθῆναι ἅπασαν αὐτοῦ τὴν οὐσίαν καὶ διανεμηθῆναι τῇ τῆς Κωνσταντινουπόλεως ἐκκλησσίᾳ ἣν τοσοῦτον ἠδίκησεν. Ἐνομοθέτησεν ἔτι: „τοὺς ἁπανταχοῦ τῆς Νεστορίου ἀθεμίστου δόξης κοινωνοὺς Σιμωνιανοὺς ὀνομάζεσθαι· προσήκει γάρ, λέγει, τοὺς ἐν τῇ τοῦ θείου ἀποστροφῇ τὸ ἐκείνου μιμουμένους δυσσέβημα, τὴν αὐτὴν ἐκείνῳ κληροῦσθαι προσηγορίαν, ὃν τρόπον Ἀρειανοί, νόμῳ τοῦ τῆς θείας λήξεως Κωνσταντίνου, Πορφυριανοί, διὰ τὸ ὅμοιον τῆς δυσσεβείας, ἐκ Πορφυρίου προσαγορεύονται. ὃς τὴν ἀληθῆ θρησκείαν ἐπιχειρήσας τῇ τοῦ λόγου δυνάμει καταγωνίσασθαι βίβλους ἑαυτῷ, οὐ παιδεύσεως ὑπομνήματα, καταλέλοιπε.“ Mansi T. V, coll. 413.

2) Ἐν τῷ αὐτῷ βιβλίῳ καὶ κεφαλαίῳ τῆς ἱστορίας τοῦ Εὐαγρίου εὕρηται καὶ ἡ πρὸς τὸν ἔπαρχον τῆς Θηβαΐδος τοῦ Νεστορίου ἐπιστολή, τὰ παθήματα αὐτοῦ περιγράφουσα Ἴδε καὶ Νικηφ. Ἐκκλ. ἱστορ. ιδ, 36, καὶ Tillemont Art. CXXXIV p. 610—612.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*τὰ γραφέντα ὑπὸ τοῦ Νεστορίου κατὰ τῆς εὐαγοῦς τῶν ὀρθοδόξων πίστεως καὶ τῆς διδασκαλίας τῶν Πατέρων τῆς ἐν Ἐφέσῳ συστάσης Συνόδου συγγράμματα. Πρὸς ἀσφαλεστέραν δὲ πλήρωσιν τῆς ἑαυτοῦ προσταγῆς προσεπέταξε ζητεῖσθαι τὰ συγγράμματα ταῦτα δημοσίᾳ καὶ πυρὶ ἀφανίζεσθαι. „Τούτῳ γάρ, λέγει, τῷ τρόπῳ πάσης ἀσεβείας ῥιζόθεν ἐκκοπείσης, τὸ ἁπλοῦν καὶ εὐαπάτητον πλῆθος οὐδὲν πλάνης σπέρμα εὑρεῖν ποτε δυνήσεται...“[1]) Τὸ θέσπισμα τοῦ αὐτοκράτορος ἀπεστάλη πρὸς Λέοντα τὸν ἔπαρχον Κωνσταντινουπόλεως, καὶ πρὸς τοὺς ἐπάρχους τῆς Ἀνατολῆς καὶ τῆς Ἰλλυρίας, Ἰσίδωρον καὶ Ῥηγῖνον. Οἱ δύο τελευταῖοι οὗτοι ἐδημοσίευσαν τὸ αὐτοκρατορικὸν θέσπισμα, καὶ ὑπ' αὐτὸ ἐπισυνῆψαν τὸ ἑαυτῶν διάταγμα, ὅπως καταπείσωσιν ἅπαντας τηρεῖν καὶ ἐφαρμόζειν αὐτό*[2])

§. 87. *Μετὰ τὸ θέσπισμα τοῦτο τοῦ αὐτοκράτορος οὐκ ἐτόλμων οἱ τοῦ Νεστορίου ὀπαδοὶ ὑποστηρίζειν τὴν ἑαυτῶν διδασκαλίαν τοῖς τούτου συγγράμμασιν, οὔτε κατέχειν, οὔτε ἀναγινώσκειν, οὔτε μεταγράφειν αὐτά· ὅθεν ἐχρῶντο τοῖς συγγράμμασιν ἀρχαιοτέρων τινῶν, οἵπερ, καταπολεμοῦντες τὰς τοῦ Εὐνομίου καὶ Ἀπολιναρίου πλάνας, ἠρείδοντο ἐπὶ τῆς τῶν δύο φύσεων διαιρέσεως. Οὕτω δ' ἐβούλοντο οἱ Νεστοριανοὶ πείθειν τοὺς ἁπλουστέρους, ὅτι καὶ οἱ συγγραφεῖς ἐκεῖνοι ἦσαν σύμφωνοι τῷ Νεστορίῳ, οὐδὲν κατ' αὐτοὺς καινὸν εἰρηκότι, ἀλλὰ τῇ διδασκαλίᾳ τῶν ἁγίων Πατέρων ἀκολουθήσαντι. Πρὸς τοῦτο δὲ προὐβάλλοντο κατ' ἐξοχὴν Διόδωρον τὸν Ταρσοῦ*[3]), *καὶ τὸν μαθητὴν αὐτοῦ Θεόδωρον τὸν Μοψουεστίας*[4]), *τὰ μάλιστα τιμωμένους καὶ θαυμαζομένους ὑπὸ τῶν Ἀνατολικῶν*

---

1) Ap. Mansi T. V, coll. 413. *Οἱ ἀρνησάμενοι ἀποδέξασθαι τὰς ἀποφάσεις τῆς ἐν Ἐφέσῳ Συνόδου ἐπίσκοποι Μελέτιος ὁ Μοψουεστίας, Ἀλέξανδρος ὁ Ἱεραπόλεως, Εὐθήριος ὁ Τυάνων, καὶ ἄλλοι, ἐξωρίσθησαν ἐκ τῶν ἐπαρχιῶν αὐτῶν* (Fleury Hist. Eccles. T. IV. liv. 26. p. 211—212). *Περὶ τῶν ἀρετῶν καὶ κακιῶν τοῦ Ἱεραπόλεως Ἀλεξάνδρου ἴδε* Tillemont Art. CXXXI p. 600—603.

2) Ap. Mansi T. V, coll. 416.

3) *Περὶ τούτου ἴδε Κυρίλλ. ἐπ. με', πρὸς Σούκενσον, Φωτ. ἀνάγν. ρβ'. (σελ. 150). Πρβλ.* Garner in Opp. Marii Mercat. P. II. Diss. I. c. 4. §. 8. p. 317—319.

4) *Περὶ τούτου ἴδε ἐπ. μθ'. τοῦ ἁγ. Κυρίλλου πρὸς Ἀκάκιον τὸν Μελιτηνῆς, Λεον. Βυζ. Σχόλ. πρ. Δ'. καὶ ς'. κατὰ Νεστορ. καὶ Εὐτυχ. λόγ. γ'.* Facundi Herm. Defens. trium capitul. l. X. c. I. *Πρβλ.* Garner in Opp. Marii Mercat. P. 1. Dissert. I. c. 2. p. 128—129 et P. II. Dissert. I. c. 4. §. 9. p. 319—322. Cave Histor. Liter. Vol. 1. p. 385—388.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*διά τε τὴν σοφίαν καὶ τὸν κατὰ τῶν αἱρετικῶν διάπυρον αὐτῶν ζῆλον, καὶ τελευτησάντων ἐν κοινωνίᾳ τῶν ἐκκλησιῶν.*[1] *Τὰ συγγράμματα αὐτῶν μεθηρμηνεύθησαν ἀρμενιστί, περσιστί, καὶ συριαστί, ἵνα διαδοθῶσιν αἱ ἐν αὐτοῖς πλάναι πορρωτέρω. Οὐκ ὀλίγοι δὲ τῶν τε ἐκκλησιαστικῶν καὶ τῶν κοσμικῶν τῆς πόλεως Ἐδέσσης κατηγόρουν τοῦ Ἰβᾶ, συριαστὶ μεθερμηνεύσαντος τὰ συγγράμματα ταῦτα, ὧν τινα περσιστὶ ὁ Μάρις, καὶ ἀρμενιστὶ ὁ Εὐλόγιος μεθηρμήνευσαν. Ῥαβουλᾶς ὁ Ἐδέσσης ἔζη ἔτι τότε, τυφλὸς ὤν, καὶ ὅλος ὑπὸ τοῦ πρὸς τὴν ἀλήθειαν ἱεροῦ ζήλου φλεγόμενος. Ἐμίσει δὲ οὗτος λίαν τὸν Μοψουεστίας Θεόδωρον, οὗ καὶ ἐπ' ἐκκλησίας ἀνεθεμάτισε τὰ συγγράμματα. Τὴν πρὸς τὸν Θεόδωρον ἔχθραν αὐτοῦ ἐδήλωσε τῷ ἁγίῳ Κυρίλλῳ, ὡς καὶ τὸν ἐκ τῆς διδασκαλίας τοῦ ἐχθροῦ τούτου ἐπικρεμάμενον τῇ ὀρθῇ πίστει κίνδυνον.*[2] *Ἡ πρᾶξις αὕτη τοῦ Ῥαβουλᾶ ἤρεσε τῷ ἁγίῳ Κυρίλλῳ, διὸ καὶ ὠνόμασεν αὐτὸν θεμέλιον καὶ στύλον τῆς ἀληθείας ἅπασι τοῖς Ἀνατολικοῖς.*[3]

§. 88. *Οἱ ἐπίσκοποι τῆς Κιλικίας, ἔνθα ἐχρημάτισεν ο Θεόδωρος ἐπὶ τριάκοντα καὶ ἓξ ἔτη ἐπίσκοπος, κατέκρινον τὸν Ῥαβουλᾶν, λέγοντες ὅτι αὐτός τε καὶ οἱ κηρύττοντες τὸν Θεόδωρον αἱρετικὸν ὡρμῶντο ἐκ φθόνου μόνον καὶ ἀντιζηλίας. Οἱ δὲ τῆς Ἀρμενίας ἐπίσκοποι συνεκρότησαν σύνοδον, παραγενομένων ἴσως εἰς αὐτὴν καὶ ἐπισκόπων ἐκ Περσίας καὶ τῶν παρακειμένων χωρῶν, ἐν ᾗ ἔγνωσαν ἀποστεῖλαι δύο ἱερεῖς μετά τινων διακόνων εἰς Κωνσταντινούπολιν, ἐρωτήσοντας τὸν κατὰ τὸ*

---

1) *Περὶ τοῦ τελευταίου λέγει ὁ μακάριος Θεοδώρητος τάδε: „Κατ' ἐκεῖνον δὲ τὸν χρόνον, καθ' ὃν ὁ θεῖος Θεόδοτος τὴν Ἀντιοχέων ἴθυνεν ἐκκλησίαν, Θεόδωρος, ὁ Μοψουεστίας ἐπίσκοπος, πάσης μὲν ἐκκλησίας διδάσκαλος, κατὰ πάσης δὲ φάλαγγος αἱρετικῆς ἀριστεύσας, τοῦ βίου τὸ τέλος ἐδέξατο. Οὗτος τῆς μὲν Διοδώρου τοῦ πάνυ διδασκαλίας ἀπήλαυσεν· Ἰωάννου δὲ τοῦ θειοτάτου γεγένηται κοινωνὸς τε καὶ συνεργός· κοινῇ γὰρ τῶν πνευματικῶν Διοδώρου ναμάτων ἀπήλαυον. Ἓξ δὲ καὶ τριάκοντα ἐν τῇ προεδρίᾳ διετέλεσεν ἔτη κατὰ τῆς Ἀρείου καὶ Εὐνομίου παραταττόμενος φάλαγγος, καὶ τὸν ληστρικὸν Ἀπολιναρίου καταγωνιζόμενος λόχον, καὶ τὴν ἀρίστην πόαν τοῖς θείοις προβάτοις προσφέρων“ (Ἐκκλ. ἱστορ. βιβλ. ε, κεφ. 39). Ἐκτῶν λόγων τούτων τοῦ ἱεροῦ Θεοδωρήτου καταδείκνυται πόσον ἐτίμων καὶ ἐσέβοντο τοὺς ἄνδρας τούτους οἱ Ἀνατολικοί.*

2) *Ἡ ἐπιστολὴ τοῦ Ῥαβουλᾶ πρὸς τὸν ἅγιον Κύριλλον εὕρηται ἐν* Synod. adv. trag. Irenaei c. 200, *καὶ πληρεστέρα ἐν τοῖς Πρακτ. τῆς ἐν Κωνσταντιν. Β'. Συν.* (*τῷ* 553). Mansi T. IX, coll. 247. 248.

3) *Ἐπιστ. οδ'.*



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*ἔτος 434 διαδεξάμενον τὸν Μαξιμιανὸν ἱερώτατον Πρόκλον*[1]), *πότερον τῇ τοῦ Θεοδώρου διδασκαλίᾳ, ἢ τῇ τοῦ Ῥαβουλᾶ καὶ τοῦ ὁμοφρονοῦντος αὐτῷ Ἀκακίου ἔδει αὐτοὺς ἀκολουθεῖν; Διεπέμψαντο δὲ αὐτῷ σύναμα καὶ τεμάχια ἐκ τῶν συγγραμμάτων τοῦ Θεοδώρου, ἵνα ἐξενέγκῃ τὴν περὶ τούτων γνώμην αὐτοῦ. Ἐν τῇ ἐπιστολῇ αὐτῶν ἠδημόνουν οἱ Ἀρμένιοι, ὅτι λυμεῶνές τινες καὶ τερατολόγοι ἄνθρωποι ἠβουλήθησαν ἐπεισφρῆσαι εἰς τὴν ἑαυτῶν χώραν διὰ πονηρῶν γραμμάτων καὶ ἀντιθέσεων τῆς ψευδωνύμου γνώσεως, καὶ διαστρέφειν τὸ ἁπλοῦν καὶ ἀμαγγάνευτον τῆς ὀρθοδόξου πίστεως κάλλος.*[2])

§. 89. *Δεξάμενος ὁ ἅγιος Πρόκλος τοὺς τῶν Ἀρμενίων πρέσβεις, ἐξήτασε μετὰ πλείστης ὅσης ἀκριβείας καὶ προσοχῆς τὰ ἀποσταλέντα αὐτῷ τεμάχια ἐν συνόδῳ ἐπισκόπων, παρευρισκομένων τότε ἐν Κωνσταντινουπόλει. Ἡ ἀπόκρισις αὐτοῦ, τόμος καλουμένη, ἔστιν ὄντως θαυμασιωτάτη, κριθεῖσα καὶ ὑπὸ πολλῶν ἀρχαίων συγγραφέων ὡς ἡ ἀρίστη ἁπασῶν τῶν περὶ Ἐνανθρωπήσεως πραγματειῶν.*[3]) *Κύριος σκοπὸς τῆς ἀποκρίσεως ταύτης ἐστὶ τὸ καταργῆσαι τὴν διαίρεσιν τῶν προσώπων ἐν τῷ Ἰησοῦ Χριστῷ, καὶ δεῖξαι ὅτι οὐκ ἄλλος ὁ Χριστός, καὶ ἄλλος ὁ Θεός, ὁ Θεὸς Λόγος. Δύο γάρ, λέγει, Υἱοὺς ἡ θεία φύσις οὐκ οἶδεν. Κατακρίνας ὁ ἅγιος Διδάσκαλος τοὺς κακῶς φρονοῦντας, οὐκ ἐμνημόνευσε τοῦ Θεοδώρου, οὐδὲ ὑπέβαλεν αὐτὸν ὀνομαστὶ τῷ ἀναθεματισμῷ, δι' οἰκονομίαν, „ἵνα μή, ὡς λέγει ὁ ἅγιος Κύριλλος, τινές, τῇ ὑπολήψει τοῦ ἀνδρὸς προσεσχηκότες, ἀποβάλωσιν ἑαυτοὺς τῶν ἐκκλησιῶν.“*[4]) *Καλεῖ*

---

1) *Τὸν θειότατον τοῦτον Διδάσκαλον λίαν ἐπαινεῖ ὁ θεσπέσιος Κύριλλος ἐν τῇ ἑρμηνείᾳ τοῦ Συμβόλου, λέγων: „Ταῦτα φρονεῖ μεθ' ἡμῶν ὁ φιλόχριστος τῶν ἁγίων Πατέρων χορός, καὶ . . . ὁ νυνὶ τὸν τῆς ἁγίας Κωνσταντινουπολιτῶν κοσμήσας θρόνον, ὁσιώτατος καὶ θεοσεβέστατος ἀδελφὸς συνεπίσκοπος Πρόκλος.“ Ἴδε καὶ Νικ. Κάλλ. ἐκκλ. ἱστορ. ιδ'.* 38.

2) *Ἐπ. Πρόκλ. πρὸς Ἀρμεν. περὶ πίστεως κεφ. ιε'.*

3) *Ὁ Ἀντιοχείας Ἰωάννης, ὡς ὀψόμεθα, ἐνέκρινε τὴν ἀπόκρισιν ταύτην. Ὁ δὲ θειότατος Κύριλλος γράφει πρὸς τὸν Ἰωάννην: Ἐν τῇ πρὸς Ἀρμενίους ἐπιστολῇ, τὸν τῆς ἀληθείας λόγον ὀρθοτομῶν, διεκήρυξε σαφῶς ὁ ὁσιώτατος . . . καὶ συνεπίσκοπος Πρόκλος.“ Καὶ ἡ ἐν Χαλκηδόνι Σύνοδος ἐπεκύρωσεν αὐτήν. Ὡσαύτως καὶ ἡ ε'. οἰκουμ. Σύν. παράγει χωρία αὐτῆς· οὕτω καὶ ὁ πάπας Ἰωάννης ὁ Β'., καὶ Πελάγιος ὁ Β'. καὶ ὁ αὐτοκράτωρ Ἰουστινιανός· καὶ Λέων ὁ Βυζάντιος· καὶ Ἀγοβάρδος ὁ Λουγδούνου. Πρβ.* Tillemont T. IV. S. Cyrille, art. 141. p. 630—631. Ceillier I. c. n. 3. p. 473—477. J. A. Fabricii Bibl. Gr. Vol. IX p. 511—512.

4) *Ἐπ. οβ'.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*δὲ μόνον τὴν διδασκαλίαν τῶν κακῶς φρονούντων ἐκείνων νεότευκτον καὶ καινὴν βλασφημίαν, τὴν τὸν ἰουδαϊσμὸν κατὰ πολὺ εἰς βλασφημίαν νικῶσαν,*[1]) *καὶ ἁπλῶς αἵρεσιν. Ὁμολογεῖ μίαν μόνον ὑπόστασιν τοῦ σεσαρκωμένου Θεοῦ Λόγου, οὐχὶ δὲ μίαν φύσιν. Ἐπὶ τέλους δὲ συμβουλεύει τοῖς Ἀρμενίοις φυλάττειν ἃς παρέλαβον παραδόσεις παρὰ τῶν ἁγίων καὶ μακαρίων Πατέρων, τῶν ἐν Νικαίᾳ τὴν ὀρθόδοξον πίστιν ἐκθεμένων, καὶ παρὰ τῶν περὶ τὸν ἅγιον καὶ μακάριον Βασίλειον καὶ Γρηγόριον τὸν Νύσσης, καὶ παρὰ τῶν ἄλλων, ὅσοι τούτοις ὁμοφρονοῦσιν.*

§. 90. *Τὴν πρὸς τοὺς Ἀρμενίους ἐπιστολὴν αὐτοῦ ἀπέστελεν ὁ ἅγιος Πρόκλος τοῖς ἐπισκόποις τῆς Ἀνατολῆς, μεθ' ἑτέρας συνοδικῆς, παρακαλῶν τὸν Ἀντιοχείας Ἰωάννην καὶ τὴν σύνοδον αὐτοῦ δέξασθαι αὐτὴν καὶ ὑπογράψαι πρὸς δήλωσιν τῆς συνενώσεως αὐτῶν ἐν τῇ αὐτῇ πίστει.*[2]) *Ἐκτὸς τῆς συνοδικῆς ταύτης ἐπιστολῆς ἔγραψεν ἰδίᾳ πρὸς τὸν Ἰωάννην, προτρέπων αὐτὸν πρὸς τοῖς ἄλλοις ἐπαγρυπνεῖν ὑπερ ἐκείνων, ὧν τὴν φυλακὴν ἐνεπίστευσεν αὐτῷ ὁ Θεός. Τὰς ἐπιστολὰς ταύτας ἔπεμψεν ὁ ἅγιος Πρόκλος εἰς Ἀντιόχειαν διὰ Θεοδότου, διακόνου τῆς ἐκκλησίας αὐτοῦ, ἀνδρὸς πάνυ σεβαστοῦ. Ἐπειδὴ δὲ οὗτος οἴκοθεν ἔθηκε τὸ ὄνομα Θεοδώρου τοῦ Μοψουεστίας ἐπὶ τεφαλῆς τῶν ὑπόπτων ἄρθρων, δυσχέρειαι οὐ σμικραὶ καὶ ταραχαὶ ἀνεφύησαν.*[3]) *Ὁ Ἰωάννης καὶ οἱ ἐπίσκοποι τῆς Ανα-*

---

1) *κεφ. ιδ'.*

2) *Τῆς συνοδικῆς ταύτης ἐπιστολῆς πρὸς τὸν Ἰωάννην καὶ τοὺς λοιποὺς Ἀνατολικοὺς σώζεται λατινιστὶ τεμάχιον, ἔνθα ὁ ἅγιος Πρόκλος ἀνομολογεῖ, ὅτι ἐσταυρώθη ὁ εἷς τῆς Τριάδος κατὰ τὴν σάρκα· καὶ ἕτερον, ὅπερ παρήγαγεν ὁ ἅγιος Κύριλλος, ἔχον ὧδε: „Καὶ σαρκοῦται μὲν ἀτρέπτως ὁ ἀνείδεος· τίκτεται δὲ καὶ κατὰ σάρκα ὁ ἄναρχος· προκόπτει δὲ τῇ κατὰ τὸ σῶμα ἡλικίᾳ ὁ φύσει παντέλειος· καὶ παθῶν ἀνέχεται ὁ παθῶν ἀνώτερος, οὐχ ᾧ ἦν ὑπομείνας τὰς ὕβρεις, ἀλλ' ᾧ γέγονε καταδεξάμενος τὰ τοῦ σώματος πάθη.“*

3) *Κατὰ τὸν Λιβεράτον, δύο ἢ τρεῖς μοναχοὶ ἐξ Ἀρμενίας, Ἀπολιναρισταί, ἀφικόμενοι εἰς Κωνσταντινούπολιν μετὰ διαφόρων τεμαχίων, ἐξαχθέντων, ὡς ἔλεγον, ἐκ τῶν συγγραμμάτων τοῦ Θεοδώρου καὶ ἄλλων, καταπολεμησάντων τὸν Ἀπολινάριον, ἐκραύγαζον, ὅτι δεῖ καταδικάσαι τά τε συγγράμματα καὶ τοὺς συγγραφεῖς αὐτῶν, ὡς κατεδικάσθη καὶ ὁ Νεστόριος. Οἱ μοναχοὶ οὗτοι ἐτάραξαν ἅπασαν τὴν πόλιν οὕτω κραυγάζοντες. Διέφθειραν πολλοὺς ταῖς πλάναις τοῦ Ἀπολιναρίου καὶ ταῖς κατὰ τῶν ἀθώων συκοφαντίαις αὐτῶν. Ἐξελθόντες δὲ τῆς Κωνσταντινουπόλεως διέδραμον ἁπάσας τὰς πόλεις καὶ τὰς μονὰς τῆς Ἀνατολῆς, βοῶντες ὅτι κατα-*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τολῆς, συνελθόντες εἰς σύνοδον, ὑπέγραψαν μὲν τὸν τοῦ Πρόκλου τόμον, ἠρνήσαντο ὅμως ἀναθεματίσαι τὰ ἐν αὐτῷ ἄρθρα καὶ τοὺς συγγραφεῖς αὐτῶν. Ἐποίησαν δὲ σύναμα καὶ μομφὴν τῷ Πρόκλῳ, θελήσαντι καταδικάσαι τὸν Θεόδωρον, ἐν εἰρήνῃ καὶ κοινωνίᾳ τῆς Ἐκκλησίας τελευτήσαντα. Ἐκπλαγεὶς ὁ ἅγιος Πρόκλος ἐπὶ τῇ προσθήκῃ τοῦ ὀνόματος τοῦ Θεοδώρου ἐν τοῖς τεμαχίοις, τοῖς συλλεχθεῖσιν ἐκ τῶν συγγραμμάτων αὐτοῦ, ἔγραψε τῷ τε Ἰωάννῃ καὶ τῇ συνόδῳ αὐτοῦ, ὅτι οὐδαμῶς, οὔτε διὰ τῆς ὑπ' αὐτοῦ γραφείσης ἐπιστολῆς, οὔτε δι' ὧν ἔδωκε τῷ κομιστῇ ἐντολῶν ἔσχε κατὰ νοῦν ἀναθεματίσαι τὸν Θεόδωρον, ἢ ἕτερόν τινα θανόντα.[1])

§. 91. Ὁ Ἀντιοχείας Ἰωάννης φοβούμενος νέας διαιρέσεις καὶ ἔριδας, ᾐτήσατο ἐξ ὀνόματος τῆς ἑαυτοῦ συνόδου συμβουλὴν παρὰ τοῦ ἁγίου Κυρίλλου καὶ τοῦ ἁγίου Πρόκλου περὶ τοῦ πῶς ἔδει πρὸς τὴν περίστασιν ταύτην ἁρμόσασθαι. Ἐν τῇ ἐπιστολῇ ταύτῃ διεβεβαιοῦντο αὐτός τε καὶ ἡ σύνοδος αὐτοῦ τὸν ἅγιον Κύριλλον, ὅτι ἀπεδέξαντο μὲν τὸν πρὸς τοὺς Ἀρμενίους τόμον τοῦ ἁγίου Πρόκλου, ὡς περιέχοντα τὴν ὀρθὴν διδασκαλίαν, „ἀλλά, προσεπιλέγουσιν, ὁ τόμος οὗτός ἐστι νῦν ἀνωφελής, ὅτε, χάρις τῷ Θεῷ, ἅπαντες καὶ ἁπανταχοῦ ἓν καὶ τὸ αὐτὸ τηροῦσιν ἤδη εὐσεβὲς φρόνημα. Καὶ αὐτὰ γὰρ δήπου τὰ ἀπαραίτητα πράγματα φιλεῖ τὴν ταραχὴν ἐπαυξάνειν μὴ ἐν εὐκαίρῳ γιγνόμενα.“ Ἔπειτα ποιοῦνται μνείαν ἑτέρου τόμου, περιέχοντος τεμάχια ἐκ τῶν συγγραμμάτων τοῦ Θεοδώρου, ἅπερ τινὲς ἐβούλοντο πεῖσαι αὐτοὺς ἀναθεματίσαι. Διϊσχυρίζονται δὲ ὅτι ὑπάρχουσιν ἐν αὐτῷ πολλα ἀβέβαια καὶ

---

δικαστέος πάντως ἐστὶν ὁ Θεόδωρος. Ἐτάραττον δὲ καὶ ἐξέπληττον ἐκκλησιαστικοὺς ἅμα καὶ κοσμικούς. Λέγεται δὲ ὅτι ὑπεστηρίζοντο ὑπὸ ἰσχυρῶν τινων, ὁρώντων ὅτι σκοπὸς αὐτῶν ἦν ἡ τῆς αἱρέσεως τοῦ Ἀπολιναρίου ἀποκατάστασις (Tillemont T. XIV p. 634).

1) Ὁ ἅγιος Κύριλλος ἔγραψε τῷ θειοτάτῳ Πρόκλῳ περὶ τῆς ὑποθέσεως ταύτης ἐπιστολὴν, δι' ἧς παρῄνει μὴ ἐπιτρέψαι ἀναθεματίσαι τὸν Θεόδωρον, ἅτε οὐ σμικρὰν τοῦ πράγματος ταραχὴν προξενήσοντος. „Εἰ μὲν οὖν, λέγει, ἔδρων τοῦτο ἀμελλητὶ τῶν κατὰ τὴν ἑῴαν τινές, καὶ οὐδένα θόρυβον ἦν ἐντεῦθεν προσδοκᾶν, ἔφην ἂν ὅτι τὸ λυποῦν οὐδὲν ἀπαιτεῖσθαι νῦν τοῦτο καὶ ἐγγράφως αὐτούς. Εἰ δὲ, ὡς γράφει ὁ κύριυς μου ὁ ὁσιώτατος ἐπίσκοπος τῆς Ἀντιοχείας Ἰωάννης, ἕλοιντο ἂν μᾶλλον γενέσθαι πυρίκαυστοι, ἢ πρᾶξαί τι τοιοῦτον, ἵνα τί φλόγα κατευνασθεῖσαν ἀναρριπίζομεν, καὶ πανσαμένους θορύβους ἀνασκαλεύομεν οὐκ εὐκαίρως; μήποτέ πως τὰ ἔσχατα χείρονα τῶν πρώτων εὑρεθῇ;“ ἐπ. οβ'.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*διαφόρως νοηθέντα ἢ ὡς ἐρρήθησαν· ὅτι ἐφοβοῦντο μή πως, ἀναθεματίζοντες πολλὰ τῶν χωρίων τοῦ Θεοδώρου, πολλοὺς ἀρχαίους καὶ ἐνδόξους Πατέρας, παραπλήσια αὐτῷ εἰπόντας, συναναθεματίσωσιν.*[1])

§. 92. *Δυσαρέστως μὲν ἤκουσεν ὁ μέγας τῆς ἀληθείας πρόμαχος Κύριλλος ὅτι οἱ Ἀνατολικοὶ παρέβαλλον τὸν Θεόδωρον πρὸς τοὺς περικλεεστάτους τῶν τῆς Ἐκκλησίας Πατέρων, πρὸς Ἀθανάσιον τὸν Μέγαν, Βασίλειον τὸν Μέγαν, Γρηγόριον τὸν Θεολόγον, καὶ Θεόφιλον, καὶ ὅτι ἀπεδίδοσαν αὐτοῖς δοξασίας εἰς αὐτὸν μόνον τὸν Θεόδωρον καὶ Διόδωρον τὸν Ταρσοῦ καὶ εἰς ἄλλους τινὰς ἀνηκούσας, ἀλλ' ὅμως οὐκ ἠβουλήθη ἰδεῖν αὖθις ἐξεγειρομένας τὰς πρὸ μικροῦ καταπαυθείσας ἔριδας καὶ ταραχάς. „Εὐχόμεθα, λέγει, πάντας ἰδιοπραγεῖν, καὶ μήτε θορύβους ταῖς ἐκκλησίαις ἐγείρειν, τοὺς ἤδη κατηρεμήσαντας χάριτι τοῦ Χριστοῦ, καὶ διὰ τῆς νήψεως τῶν ἁπανταχοῦ μυσταγωγῶν, μήτε μὴν ἀνασκαλεύειν ἑαυτοῖς ἢ ἑτέροις πράγματα ... Ἐκεῖνο μέντοι παρακαλοῦμεν, ὡς ἀδελφοὺς καὶ συνδιδασκάλους, παρεγγυῆσαι τοῖς κληρικοῖς, μὴ ἕτερα λαλεῖν, ἐν ἐκκλησίαις μάλιστα, παρὰ τὰ ὀρθὰ καὶ δεδοκιμασμένα, καὶ εὖ ἔχειν δόξαντα, ἕπεσθαι δὲ μᾶλλον τῇ τῆς ὀρθῆς πίστεως ὁμολογίᾳ· καὶ μάλιστα μὲν μὴ ἐπιτρέχειν τοῖς περὶ τούτων λόγοις.“ ...*[2]) — *Ἔγραψε δὲ καὶ τῷ ἁγίῳ Πρόκλῳ, παρακαλῶν αὐτὸν μὴ συγχωρῆσαι ἀναθεματισθῆναι τὸν Θεόδωρον, ἅτε τοῦ πράγματος τούτου δυναμένου ἀναρριπίσαι κατευνασθεῖσαν φλόγα καὶ ἀνασκαλεῦσαι παυσαμένους θορύβους.*[3]) *Γενομένου δὲ μετά τινα χρόνον καταφανοῦς ὅτι οἱ Νεστοριανοὶ παρέσυρον πολλοὺς εἰς τὰς ἑαυτῶν πλάνας διὰ τῆς διαδόσεως τῶν συγγραμμάτων τοῦ Θεοδώρου καὶ τοῦ Διοδώρου, ἡγήσατο ἀναγκαῖον γράψαι ἀνασκευὴν τῶν δοξασιῶν αὐτῶν. Ἀτυχῶς δὲ ἡ ἀνασκευὴ αὕτη οὐ διεσώθη.*[4])

---

1) Ἐπ. ξς'. *Καὶ ἡ ἐπιστολὴ αὕτη διεσώθη μόνον λατινιστί.*

2) Ἐπ. ξζ'.

3) Ἐπ. οβ'.

4) *Τοῦ συγγράμματος τούτου ποιεῖται μνείαν ἐν τῇ πρὸς Ἀκάκιον τὸν Μελιτηνῆς ξθ' αὐτοῦ ἐπιστολῇ, λέγων: „Ἐπειδὴ δὲ ἐχρῆν καὶ ἀντιλογίας ἐγγράφους εἶναι παρ' αὐτοῖς, ἐγκύψας τοῖς Θεοδώρου καὶ Διοδώρου βιβλίοις, οἷς γεγράφασιν οὐ περὶ τῆς σαρκώσεως μᾶλλον τοῦ Μονογενοῦς, ἀλλὰ κατὰ τῆς σαρκώσεως, ἐπελεξάμην τῶν κεφαλαίων· καὶ τὸν ἐνδεχόμενον τρόπον ἀντηνέχθην αὐτοῖς, ἀποφαίνων πανταχοῦ βδελυρίας οὖσαν μεστὴν τὴν δόξαν αὐτῶν.“*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

§. 93. *Μαθὼν ὁ θεσπέσιος Κύριλλος παρὰ τοῦ διακόνου καὶ ἀρχιμανδρίτου Μαξίμου, ὅτι πολλοὶ τῶν Νεστοριανῶν, καυχώμενοι ἐπὶ τῷ ἐμμένειν τῷ συμβόλῳ τῆς Νικαίας, παρωχέτευον τὰ ἐν αὐτῷ ἐφ' ἃ μὴ προςῆκεν, ὡς οὐκ ἐννοοῦντες τὴν δύναμιν τῶν ἐν αὐτῷ ῥημάτων, ἢ καὶ εἰς ἀδόκιμον ἀποφερόμενοι νοῦν ἐκ τοῦ προςκεκλίσθαι συγγραφαῖς ἄλλων τινῶν, ἔγνω διερμηνεῦσαι σαφῶς τὴν τῆς ἐκθέσεως δύναμιν. Εἰπὼν δέ, ὅτι ὁ Θεὸς καὶ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἦν ἀοράτως πρόεδρος τῆς ἁγίας καὶ μεγάλης ἐκείνης Συνόδου, τῆς ὁρισαμένης τὸ σεπτὸν τοῦτο καὶ οἰκουμενικὸν τῆς πίστεως Σύμβολον, καὶ ὅτι ἀδιαβλήτως τετηρήκασιν αὐτὸ οἱ μετ' αὐτὴν γεγονότες ἅγιοι πατέρες καὶ ποιμένες λαῶν, καὶ φωστῆρες ἐκκλησιῶν, καὶ εὐτεχνέστατοι μυσταγωγοί, παράγει αὐτὸ ὁλόκληρον καὶ ἑρμηνεύει, ἑπόμενος ταῖς τῶν ἁγίων Πατέρων ὁμολογίαις καὶ δόξαις, καὶ βασανίζων τὰ ὑπ' αὐτῶν εἰρημένα ὀρθῶς καὶ ἀπροςκλινῶς. Τὸ σύγγραμμα τοῦτο ἀπέστειλεν Ἀναστασίῳ, Ἀλεξάνδρῳ, Μαρτινιανῷ, Ἰωάννῃ, Παρηγορίῳ πρεσβυτέρῳ, Μαξίμῳ διακόνῳ, καὶ ἄλλοις ἐν μοναχοῖς ὀρθοδόξοις Πατράσι καὶ τοῖς σὺν αὐτοῖς τὸν μονήρη βίον ἀσκοῦσιν, αἰτησαμένοις αὐτὸ παρ' αὐτοῦ.[1]) Ὡσαύτως, Ἀκακίῳ τῷ Μελιτηνῆς[2]), τῷ αὐτοκράτορι, καὶ ταῖς εὐσεβέσιν αὐτοῦ ἀδελφαῖς.[3]) Τοῦτο δὲ ἦν τὸ ὕστατον τοῦ θείου Ἱεράρχου κατὰ τῆς τοῦ Νεστορίου αἱρέσεως σύγγραμμα.*

§. 94. *Μετὰ τοιούτου ἄρα ἐνθέου ζήλου, μετὰ τοιαύτης ἀκαταπονήτου δραστηριότητος καὶ προθυμίας ἐσπούδαξεν ὁ μέγας οὗτος τῆς ὀρθοδοξίας πρόμαχος ἐκριζῶσαι τὴν πάνυ ἐπικίνδυνον τῇ ὀρθοδόξῳ πίστει τοῦ δυςσεβοῦς Νεστορίου αἵρεσιν. Ὁσάκις δὲ ἀληθῶς ἀναφαίνεταί πού τις αἵρεσις ὅπως προσβάλῃ τὴν τῆς ἀληθείας διδασκαλίαν, ὁ τῆς ἁγίας Ἐκκλησίας ἀρχηγὸς καὶ θεμελιωτὴς Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς προάγει εἰς τὸ μέσον πρόμαχον καὶ τιμωρόν, τὸ ψεῦδος τῆς ἀσεβείας ἀποκαλύπτοντα. Ὡς ὁ Ἀθανάσιος ὁ Μέγας κατενίκησε καὶ κατέβαλε τὸν ἀρειανισμόν, καὶ ὁ ἱερὸς Αὐγουστῖνος τὸν μανιχαϊσμόν, τὸν πελαγιανισμὸν καὶ τὸν ἡμιπελαγιανισμόν, οὕτω καὶ ὁ ἱερώτατος Κύριλλος τὸν νεστοριανισμόν. Ἅπαντα*

1) Ἐπ. μζ'.
2) Ἐπ. μθ'.
3) Ἐπ. ο'.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*τὰ ὑπὸ τῶν Νεστοριανῶν προβαλλόμενα χάριν τῆς ἑαυτῶν πλάνης ἐπιχειρήματα ἀνέτρεψεν ἄρδην διὰ συγγραφῶν σοφωτάτων, σαφέστατα δεικνὺς καὶ ὑπερασπίζων ἀεὶ τὴν ἀλήθειαν. Οἱ ὑπερασπισταὶ τῆς αἱρέσεως, ἢ τοῦ προσώπου τοῦ Νεστορίου, ἀπεπειράθησαν πολλάκις καταδεῖξαι τὸν ἅγιον Κύριλλον τὰ τοῦ Ἀρείου δῆθεν καὶ τοῦ Ἀπολιναρίου φρονοῦντα καὶ πλανώμενον δῆθεν ἐν τῇ ἰδίᾳ αὐτοῦ διδασκαλίᾳ, ἀλλὰ τα πλήρη θείας σοφίας συγγράμματα τοῦ θεσπεσίου Πατρὸς ἀπέδειξαν ἐνώπιον ἅπαντος τοῦ κόσμου καὶ αὐτῶν ἔτι τῶν κατηγόρων αὐτοῦ πόσον οὗτοι ἐψεύδοντο, καὶ πόσον αὐτὸς συνεφώνει τῇ παραδόσει τῆς ἁγίας Ἐκκλησίας. Τὸ θάρρος αὐτοῦ καὶ ἡ μεγαλοψυχία ἐξεδηλώθησαν ἀείποτε λαμπρότατα. Ἔν τινι τῶν ὁμιλιῶν αὐτοῦ λέγει: „Εἰ γὰρ καὶ πρὸς τὰς ἐξουσίας τοῦ κόσμου, ἢ πρὸς αὐτὸν τὸν εὐσεβέστατον βασιλέα ἐχρῆν τί με λαλῆσαι, οὐ μὴ αἰσχυνθήσομαι οὐδὲ δειλανδρήσω, ἔχων τὸν προφήτην Δαβὶδ παραινοῦντά μοι συνεχῶς καὶ λέγοντα, ἐλάλουν ἐναντίον βασιλέων καὶ οὐκ ἠσχυνόμην.*[1]) *Ἐν τῇ ἀρχῇ τῆς πρὸς τὸν Νεστόριον πάλης λέγει, ὅτι οὐδαμῶς φοβεῖται τὰς κατ' αὐτοῦ ἀπειλάς. „Σκοπὸς γάρ μοι, λέγει, διὰ τὴν εἰς Χριστὸν πίστιν καὶ καμεῖν καὶ ὑποστῆναι πᾶν ὁ,τιοῦν τῶν νομιζομένων εἶναι δεινῶν ἐν βασάνοις, ἕως οὗ καὶ τὸν ἡδύν μοι διὰ τοῦτο ὑπομείνω θάνατον.“*[2]) *Μεθ' ἡλίκης τῷ ὄντι ἀταραξίας ὑπέστη ἐν Ἐφέσῳ τὸν κατ' αὐτοῦ καταδιωγμὸν καὶ τὴν φυλακήν, καίπερ προβλέπων, ὅτι ἐπέκειτο αὐτῷ στέρησις τῆς ἐπισκοπῆς, καὶ ἴσως ἐξορία εἴς τινα ἔρημον! Τὴν ἐν τῇ περιστάσει ταύτῃ θαυμαστὴν αὐτοῦ καρτερίαν καὶ μεγαλοψυχίαν καὶ ὑπομονήν, καὶ ἐπὶ πλέον τὴν χαράν, ἣν ᾐσθάνετο πάσχων ὑπὲρ τῆς ἀληθείας, ἐπῄνεσαν ἐπαξίως Ἀλύπιος ὁ πρεσβύτερος τῆς Κωνσταντινουπόλεως, Ἀκάκιος ὁ Μελιτηνῆς ἐν τῇ Συνόδῳ τῆς Ἐφέσου, καὶ ὁ Μαξιμιανὸς ἐν τῇ ἐπιστολῇ, ἣν ἔγραψεν αὐτῷ ὅτε ἀνέβη ἐπὶ τὸν θρόνον τῆς Κωνσταντινουπόλεως. Οὐδενὸς ὄντως τῶν περικλεεστάτων τῆς ἁγίας Ἐκκλησίας Πατέρων καὶ Διδασκάλων ἐγένετο δεύτερος ὁ θειότατος Κύριλλος κατά τε τὸν ὑπὲρ τῆς ἀληθείας ζῆλον καὶ τὸ μεγαλόψυχον καὶ τὴν πρὸς τὸν Κύριον ἀγάπην.*

---

1) T. X e. Migne p. 1036.
2) *Ἐπ. θ'. καὶ ι'.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

§. 95. *Εἰ καὶ τηλικοῦτος ζῆλος πρὸς ὑπεράσπισιν τῶν ἀληθείων τῆς πίστεως ἔφλεγε τὴν καρδίαν τῶν θεσπεσίου Κυρίλλου, ὅμως, ἕνεκα τῆς πρὸς τὴν εἰρήνην ἀγάπης, ἐφαίνετο καὶ συγκαταβατικός πως πρὸς τοὺς πεπλανημένους, ὁρῶν ὅτι αἱ πλάναι αὐτῶν προήρχοντο πολλάκις οὐχὶ ἐξ ἰσχυρογνωμοσύνης, ἀλλ' ἐξ ἁπλότητος μᾶλλον, καὶ ἐκ τῶν συμφυῶν τῷ ἀνθρώπῳ παρανοήσεων, ὡς τοῦτο δηλοῦται ἔκ τε τῆς ἱστορίας τοῦ πρέσβύτου ἐκείνου, ὃν ἀπήλλαξε τῆς πλάνης ἣν εἶχε νομίζων, ὅτι ὁ εὐλογήσας ποτὲ τὸν Ἀβραὰμ Μελχισεδὲκ ἦν αὐτὸς ὁ Υἱὸς τοῦ Θεοῦ*[1]*), καὶ ἐκ τοῦ τρόπου δι' οὗ ἀνέπεισε τοὺς εἰς τὰς πλάνας τοῦ ἀνθρωπομορφισμοῦ περιπεσόντας. Τίς δύναται μὴ θαυμάζειν τὴν ἀνεξικακίαν αὐτοῦ πρὸς τοὺς τοσοῦτον αὐτὸν ὑβρίσαντας καὶ συκοφαντήσαντας; Τίς δύναται μὴ θαυμάζειν τὴν πρὸς τοὺς Ἀνατολικοὺς πρᾳότητα αὐτοῦ καὶ τὴν σύνεσιν, χάριν τῆς τε εἰρήνης καὶ τῆς ἑνώσεως αὐτῶν τῇ ἁγίᾳ Ἐκκλησίᾳ; Τὴν συγκατάβασιν αὐτοῦ καὶ ἠπιότητα κατέδειξε προτιμήσας ἀνέχεσθαι μᾶλλον, ἢ καταδικάσαι τοὺς ὑπερασπίζοντας τὸν Θεόδωρον τὸν Μοψουεστίας, ὃν αἱρετικὸν ἀληθῶς ὑπελάμβανεν, διότι τοῦτο ἠδύνατο ταράξαι τὴν τῆς Ἐκκλησίας εἰρήνην. Τῇ αὐτῇ συγκαταβάσει ἐχρήσατο ἀνεχόμενος τὴν Ἰουβεναλίου τοῦ Ἱεροσολύμων φιλοδοξίαν. Δικαίως ἄρα ἐπαινεῖ ὁ ἅγιος Κελεστῖνος τόν τε ὑπὲρ τῆς πίστεως ζῆλον καὶ τὸ θάρρος αὐτοῦ, δι' οὗ ἠγωνίσατο ὑπὲρ αὐτῆς, καὶ τὴν χειραγωγοῦσαν αὐτὸν ἀείποτε φρόνησιν.*[2])

§. 96. *Κατὰ τὰ τελευταῖα ἔτη τῆς πρὸς τοὺς Νεστοριανοὺς ἐνδόξου αὐτοῦ πάλης ἔγραψε τὸ ὑπὲρ τῆς τῶν Χριστιανῶν εὐαγοῦς θρησκείας πρὸς τὰ τοῦ ἐν ἀθέοις Ἰουλιανοῦ λαμπρὸν καὶ θαυμάσιον σύγγραμμα, περὶ οὗ ἐν τῷ οἰκείῳ τόπῳ λόγος γενήσεται. Κατὰ τὰ τελευταῖα ἔτη ἐπ' ἴσης τοῦ ἐπὶ γῆς ἐνδόξου αὐτοῦ βίου ἐδεήθη τοῦ κατὰ τὸ* 441 *ἔτος διαδεξαμένου Ἰωάννην τὸν Ἀντιοχείας*[3]) *Δόμ-*

---

1) *Β. Πατ. βιβλ. ιη'.*

2) *Ἴδε ἐπιστ. ἁγίου Κελεστίνου, ἐν ταῖς τοῦ ἁγίου Κυρίλλου, ἐπ. ιβ'.*

3) *Ὁ Ἰωάννης ἦν, ἀληθῶς εἰπεῖν, ἀνὴρ ἔξοχος. Ἀνετράφη ἐκ παίδων ἐν τῇ τῶν θείων Γραφῶν μελέτῃ, καὶ ἄριστα ἐγίγνωσκε τὴν τῆς Ἐκκλησίας διδασκαλίαν, ὡς ἀνωμολόγησε Διόσκορος ὁ Ἀλεξανδρείας ἔν τινι ἐπιστολῇ. Ὁ ἅγ. Κύριλλος ἀνωμολόγησεν ἐπ' ἴσης τὴν περὶ τὴν διδασκαλίαν καὶ τοὺς κανόνας τῆς Ἐκκλησίας δεινότητα τοῦ ἀνδρός. Λίαν θερμῶς ἐπῄνεσεν αὐτὸν καὶ Ἀκάκιος ὁ τῆς Βερροιαίων. Τὴν φυσικὴν*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*νου*[1]) *ὑπὲρ δύο ὑπὸ τούτου καθαιρεθέντων ἐπισκόπων, Ἀθανασίου τοῦ Πέρρας, καὶ ἑτέρου τινὸς Πέτρου τὸ ὄνομα. Ὁ Ἀθανάσιος οὗτος ἐξεβλήθη οὐ μόνον τῆς ἰδίας αὐτοῦ ἐκκλησίας ὑπὸ τῶν οἰκείων κληρικῶν, ἀλλὰ καὶ καθῃρέθη. Οὗτοι ἀφεῖλον ἐπ' ἴσης τὸ ὄνομα αὐτοῦ ἐκ τῶν ἱερῶν διπτύχων, καὶ ἐξέβαλον τοὺς τῆς ἐκκλησίας οἰκονόμους, ἤτοι τοὺς τῆς οὐσίας τῆς ἐκκλησίας χειριστάς, οἰκείᾳ γνώμῃ ἑτέρους ἀντ' αὐτῶν καταστήσαντες. Οὐδαμῶς τολμῶν ὁ Ἀθανάσιος ἀνενεγκεῖν τὰς δεινοπαθείας αὐτοῦ τῷ οἰκείῳ μητροπολίτῃ, ἅτε οὐδαμῶς ὑπ' αὐτοῦ ἀγαπώμενος, παρέστησε τὴν ἰδίαν αὐτοῦ ὑπόθεσιν συνόδῳ τινὶ τῆς Κωνσταντινουπόλεως*[2]), *ἐν ᾗ παρεγένετο, ὡς φαίνεται, καὶ ὁ ἅγιος Κύριλλος.*[3]) *Οἱ Πατέρες τῆς συνόδου ταύτης ἠκροάσαντο μετὰ δακρύων τῶν κατὰ τοῦ Ἀθανασίου γενομένων, ἀλλ' οὐκ ἠδυνήθησαν ἀποκαταστῆσαι αὐτὸν αὖθις εἰς τὴν οἰκείαν θέσιν. Ἐντεῦθεν ἔγραψεν ὁ ἅγιος Κύριλλος τῷ Δόμνῳ, ἄτοπον ἡγούμενος τὸ τολμᾶσθαι τοιαῦτα παρὰ κληρικῶν κατὰ τῶν ἰδίων ἐπισκόπων, καταξιῶσαι, εἰ μακρὰν ἐστι τῆς Ἀντιοχείας ἡ Πέρρα, τισὶ δι' οἰκείων γραμμάτων ἐπιτρέψαι τὴν ἀκρόασιν, ὥστε κληθέντας τοὺς τὴν αἰτίασιν ὑπομένοντας, ἀπολογήσασθαι, καὶ εἰ εὑρεθεῖεν ἔνοχοι τοῖς αἰτιάμασιν, ἀπολισθῆσαι τῆς ἱερᾶς λειτουργίας. Ὃ γὰρ αὐτοὶ τετολμήκασι κατὰ τοῦ ἰδίου πατρός, τοῦτο*

---

*αὐτοῦ ἀγαθότητα καὶ τὴν πρὸς τὸν φθόνον ἀλλοτριότητα δείκνυσιν ἡ χαρά, ἣν ᾐσθάνετο ἐπὶ τῇ δόξῃ τοῦ Θεοδωρήτου, ἀγορεύοντος ἐν Ἀντιοχείᾳ. „Τοσοῦτον, λέγει ὁ μακάριος Θεοδώρητος, ἐν τῇ πγ' ἐπ. αὐτοῦ, ἐγάννυτο ὁ Ἰωάννης διαλεγομένων ἡμῶν, ὡς ἄμφω τὼ χεῖρε κινεῖν καὶ διανίστασθαι πολλάκις.“ Τὴν ὑπόθεσιν τοῦ Νεστορίου ἐβούλετο ἀπ' ἀρχῆς καταπαῦσαι διὰ τρόπων ἠπίων. Θαυμασία ὄντως ἡ ἐπιστολή, ἣν ἔγραψε τῷ αἱρετικῷ τούτῳ. Εἰ καὶ ὡς ἄνθρωπος ἀπατηθεὶς προςηνέχθη ἐν Ἐφέσῳ ἀναρμόστως πρὸς τὸν ἅγιον Κύριλλον, ὅμως ἀναντίρρητον ὅτι οὔτε αὐτός, οὔτε οἱ ἄλλοι Ἀνατολικοὶ ἐνέπεσον τῇ τοῦ Νεστορίου πλάνῃ. Ἡ περὶ τῆς ὑπολήψεως Θεοδώρου τοῦ Μοψουεστίας ὑπεράσπισις αὐτοῦ οὐδαμῶς ἠδυνήθη ἐλαττῶσαι τὸ ὀρθὸν τῆς πίστεως αὐτοῦ. Καὶ αὐτὸς ὁ πολὺς Κύριλλος ὑπέβαλε τῇ τοῦ Ἰωάννου κρίσει τὰ συγγράμματα αὐτοῦ. Ὁ ἅγιος Εὐλόγιος ὁ Ἀλεξανδρείας ὀνομάζει τὸν Ἰωάννην ἅγιον (Φώτ. ἀνάγν.* 230. *σελ.* 269, *ἔκδ.* Bekker). *Πρβ.* Tillemont Saint Cyrille d'Alexandrie Art. CXLVII p. 644—646.

1) *Ὁ κατὰ τὴν πρόρρησιν τοῦ ἁγίου Εὐθυμίου διαδεξάμενος τὸν Ἰωάννην Δόμνος ἦν υἱὸς ἀδελφῆς τοῦ Ἰωάννου* (Boll. 20. San. p. 311. 556. 571).

2) *Ἄγνωστον πότε καὶ διὰ τί ἔσχε χώραν ἡ σύνοδος αὕτη.*

3) *Τοῦτο δύναταί τις τεκμήρασθαι ἐκ τοῦ ὅτι αὐτὸς ὁ Κύριλλος λέγει, ὅτι ἠκροάσατο τοῦ Ἀθανασίου ἐν τῇ συνόδῳ μετὰ δακρύων (ἐπ. οζ'.).*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*πάθοιεν ἂν δικαίως, πάσης ἀλογήσαντες ἀκολουθίας καὶ πάντα θεσμὸν ὑπερβάντες καὶ παρ' οὐδὲν ποιησάμενοι τὸ ἀτιμάσαι πατέρα.“* [1])

§. 97. *Ὁ ἐπίσκοπος Πέτρος, κατηγορηθεὶς ἐπὶ κακῇ τῆς οὐσίας τῆς ἐκκλησίας διοικήσει, ἐξεβλήθη τῆς ἐπισκοπῆς αὐτοῦ. Ἔγραψε δὲ τῷ ἁγίῳ Κυρίλλῳ τὰ δεινοπαθήματα αὐτοῦ λέγων, ὅτι ἐγένετο αὐτῷ ἀδύνατον συστῆναι τῇ οἰκείᾳ ὑπολήψει· μὴ λαβεῖν καιρὸν ἀπολογίας, οὔτε μὴν ἀκρόασιν αὐτῷ προτεθῆναι κανονικήν“, καὶ ὅτι ἡρπάγησαν πάντα τὰ παρ' αὐτῷ ὑπάρχοντα χρήματα. Λίαν λυπηρὸν ἦν τῷ ἁγίῳ Κυρίλλῳ το ἀκούειν τὸν γηραιὸν τοῦτον ἄνδρα κλαίοντα, διὸ παρεκάλεσε τὸν Δόμνον στῆσαι τὰ τοῦ πρεσβύτου δάκρυα καὶ δικάσαι αὐτὸν, πρὸς τοὺς κατηγοροῦντας δικασθῆναι βουλόμενον, συμπαρόντων τῶν ὑπ' αὐτὸν ἐπισκόπων, ἐκτὸς μόνον τῶν ὑπολαμβανομένων εἶναι ὑπόπτων. Ἔγραψε προςέτι ὅτι ἔδει ἀποδοθῆναι τῷ Πέτρῳ τὰ ἀδίκως ληφθέντα χρήματα αὐτοῦ, ἑκάστου τε ἐπισκόπου δικαιουμένου διατιθέναι οἰκείᾳ γνώμῃ τὰς ἰδίας αὐτοῦ προςόδους καὶ μηδενὶ ἄλλῳ διδόντος λόγον ἢ τῷ παντεπόπτῃ κριτῇ, καὶ ἀτόπου ὄντος ἐν οἱᾳδήποτε περιστάσει „λιβέλλους παραιτήσεων προςάγειν τινὰς τῶν ἱερουργῶν. Εἰ γάρ εἰσιν ἄξιοι, προςεπέλιγει, τοῦ λειτουργεῖν, ἔστωσαν ἐν τούτῳ· εἰ δ' ἀνάξιοι, μὴ ἀπὸ παραιτήσεως ἐξίτωσαν, κατεγνωσμένοι δὲ μᾶλλον ἐπὶ πράγμασιν, ὧν ἄν τις πολλὴν ποιήσαιτο τὴν καταβοήν, ὡς ἔξω τρεχόντων πάσης ἀκολουθίας.“* [2])

§. 98. *Τοιαῦτα πονήσας καὶ παθὼν καὶ ἀγωνισάμενος ὑπέρ τε τῆς ὀρθοδόξου πίστεως καὶ τῆς δόξης καὶ τοῦ θριάμβου τῆς Θεομήτορος ὁ τῆς ὀρθοδοξίας πρόμαχος καὶ τῆς εὐσεβείας διδάσκαλος, καὶ τῆς οἰκουμένης φωστήρ, καὶ τῶν ἀρχιερέων τὸ θεόπνευστον ἐγκαλλώπισμα, ὁ σοφώτατος καὶ ἱερώτατος*

---

1) Ἐπ. οζ'. *Ἡ τύχη τοῦ Ἀθανασίου ἐκρίθη κατὰ τὴν Δ'. οἰκουμ. Σύν. ἐν τῇ ιδ'. συνεδρ. πρβ.* Tillemont Art. CXLVIII p. 647—654.

2) Ἐπ. οη'. *Οἱ ἐν ᾗ ἐπιστολῇ ταύτῃ κανόνες ἐπεκυρώθησαν ὑπὸ τῆς ἐν Τρούλλῳ συνόδου, καὶ ἔλαβον χειραγωγικὴν σημασίαν καθ' ἅπαντας τοὺς χρόνους, καθάπερ καὶ ἡ ἐπιστολὴ πρὸς τοὺς κατὰ Λιβύην καὶ Πεντάπολιν ἐπισκόπους, ἐν ᾗ λέγει ὁ θεῖος Πατὴρ ὅτι, εἰ μέλλει τις χειροτονεῖσθαι κληρικός, δεῖ περιεργάζεσθαι τὸν βίον αὐτοῦ. ἐπιτρέπει δὲ βαπτίζεσθαι τοὺς κατηχουμένους — ἐπιτιμηθέντας πταισμάτων ἕνεκα. ἐν περιστάσει θανατηφόρου ἀσθενείας ἁγιάζειν τῷ μυστηρίῳ τοῦ βαπτίσματος. καὶ ἀξιοῦν τῆς κοινωνίας τῶν ἁγίων μυστηρίων.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Κύριλλος, ἐξεδήμησε πρὸς Κύριον τῷ 444ῳ σωτηρίῳ ἔτει, τριακοστῷ δὲ δευτέρῳ τῆς ἑαυτοῦ ἐπισκοπῆς*[1]) *Εἰ καὶ αἱ περὶ τοῦ βίου αὐτοῦ μαρτυρίαι εἰσὶ πανὺ ὀλίγαι, ὅμως πᾶς τις διορᾷ καὶ καθομολογεῖ, ὅτι ὁ ἁγιώτατος καὶ μέγας οὗτος ἱεράρχης, ὁ ὅλος φλεγόμενος ὑπὸ τοῦ πρὸς τὴν ὀρθοδοξίαν ἐνθέου ἔρωτος, οὐ μόνον σφόδρα περὶ τῆς ἑαυτοῦ ποίμνης ἐμερίμνα, ἀλλ' ὅτι καὶ φύλαξ αὐστηρότατος, ὥσπερ καὶ πρόμαχος, διετέλεσεν ὢν τῆς καθαρότητος τῆς πίστεως τῆς οἰκουμενικῆς Ἐκκλησίας. Ἐντεῦθεν δὲ οὐδαμῶς θαυμαστὸν ὅτι τοσοῦτον ἐθαυμάσθη καὶ ἐνεκωμιάσθη ὑπὸ τῶν κατὰ τὸν ἐγγύτατα αὐτῷ χρόνον ἀκμασάντων ἐκκλησιαστικῶν συγγραφέων. Ὀρθῶς δὲ Κελεστῖνος ὁ Ῥώμης ὀνομάζει αὐτὸν προνοητικώτατον τοῦ Κυρίου ἱερέα καὶ νενικηκότα τὰ τῶν προηγησαμένων αὐτοῦ ὑποδείγματα.*[2]) *Ὡσαύτως ἐν τῇ πρὸς τὸν κλῆρον καὶ τὸν λαὸν τῆς Κωνσταντινουπόλεως ἰδίᾳ αὐτοῦ ἐπιστολῇ καλεῖ αὐτὸν ἅγιον καὶ Θεοεράσμιον*[3]), *καὶ ἐν τῇ πρὸς Ἰωάννην τὸν Ἀντιοχείας, ἁγιώτατον καὶ ἀκριβῆ τῆς καθολικῆς Ἐκκλησίας καὶ πίστεως ἔκδικον.*[4]) *Καὶ ἡ οἰκουμενικὴ δὲ Σύνοδος τῆς Χαλκηδόνος ὀνομάζει αὐτὸν ἐπ' ἴσης τῆς ὀρθῆς καὶ ἀμωμήτου πίστεως συνήγορον.*[5])

---

## ΤΑ ΤΟΥ ΑΓΙΟΥ ΚΥΡΙΛΛΟΥ ΣΥΓΓΡΑΜΜΑΤΑ.

*Ὁ μέγας οὗτος Πατὴρ καὶ Διδάσκαλος τῆς Ἐκκλησίας συνέγραψε πλεῖστα καὶ πλήρη θείας σοφίας συγγράμματα* (α),

1) *Οὕτω μαρτυρεῖ περὶ τοῦ θανάτου αὐτοῦ ὁ διάκονος Θεόδωρος καὶ ὁ ἐξ Ἀλεξανδρείας πρεσβύτερος Ἀθανάσιος, ἀδελφιδοῦς τοῦ ἁγίου Κυρίλλου, ἐν τοῖς ἑαυτῶν λιβέλλοις πρὸς Λέοντα τὸν Πάπαν καὶ τὴν ἁγίαν καὶ οἰκουμενικὴν τῆς Χαλκηδόνος Σύνοδον.* Mansi T. VI, coll. 1005—1009 et 1021—1029.

2) *Πάπα Κελεστ. Α'. ἐπιστολὴ πρὸς Κύριλλον τὸν Ἀλεξανδρείας ἐπίσκοπον, ἐν ταῖς τοῦ ἁγ. Κυρίλλ. ἐπ. ιβ'.* Migne ed. T. X. p. 89—94.

3) Mansi T. V, coll. 1036—1047.

4) Mansi T. V, coll. 1048—1049.

5) *Πρ. Γ'.* Mansi T. VI, coll. 1008. *Εὐαγρ. Ἐκκλ. ἱστορ. Βιβλ. Α'.* Prosper. Aquit. contra collat. cap. 21. n. 2 et Agatho Pap. ep. I lecta in concil. Constant. III. Art. 18. Mansi T. XI, coll. 261.

α) *Ὅτι περὶ πλείστου ἐποιεῖτο ἡ ἀρχαία Ἐκκλησία τὰ τοῦ θεοσόφου Κυρίλλου συγγράμματα καταδείκνυνται ἐκ τῆς περὶ αὐτῶν γνώμης τῶν*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*δυνάμενα κατὰ τὰς ἐν αὐτοῖς ὑποθέσεις ἀναχθῆναι, ἐκτὸς ὀλίγων τινῶν λόγων καὶ ἐπιστολῶν, εἰς δύο εἴδη: εἰς δογματικά, καὶ εἰς ἑρμηνευτικά.*

*Εἰς τὰ δογματικὰ ἀνάγονται: α') Ἡ βίβλος τῶν Θησαυρῶν περὶ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος. — Τὸ σύγγραμμα τοῦτο κρίνεται δικαίως ὡς ἓν τῶν ἀρίστων καὶ ἀξιολογωτάτων τοῦ ἁγίου Κυρίλλου ἔργων. Περὶ αὐτοῦ ἐκφέρει ὁ κριτικώτατος Φώτιος τήνδε τὴν γνώμην: „Ἀνεγνώσθησαν Κυρίλλου οἱ Θησαυροί· ἐπιχειρηματικόν ἐστι τὸ βιβλίον, καὶ κατὰ τῆς Ἀρείου καὶ Εὐνομίου λύσσης γενναίως καὶ πολυτρόπως ἀγωνιζόμενον· καὶ γὰρ καὶ λογικαῖς ἐφόδοις ἐπιστημόνως αὐτῶν ἀπελέγχει τὴν ἄνοιαν, καὶ γραφικὰς αὐταῖς συμπλέκων καὶ συνυφαίνων χρήσεις, πανταχόθεν τὸ σαθρὸν αὐτῶν στηλιτεύει τοῦ δόγματος. Τίθησι δὲ καὶ μαρτυρίας ἁπλῶς τῆς Γραφῆς ὁ θεσπέσιος Κύριλλος, εἰς ἀμηχανίαν αὐτῶν διὰ πάντων συγκλείων τὸ φρύαγμα. Ἔστι δὲ τῶν ἑαυτοῦ λόγων ἐνταῦθα, καὶ μάλιστα τοῖς ἔννοιαν λαβοῦσι τῶν λογικῶν ἐφ-*

---

*οἰκουμ. Συνόδων. Ἡ ἐν Ἐφέσῳ καὶ ἡ ἐν Χαλκηδόνι ἀνωμολόγησαν τὰς δύο αὐτοῦ πρὸς τὸν Νεστόριον ἐπιστολὰς καὶ τὴν πρὸς Ἰωάννην τὸν Ἀντιοχείας λθ' ὡς κανόνα τῆς πίστεως* (Mansi T. IV, coll. 1337—1370. V. VI, coll. 657—677. 957—960. T. VII. coll. 113—114). *Ἡ ἐν ταῖς ἐπιστολαῖς ταύταις ἐκφερομένη διδασκαλία ἀναπτύσσεται ἐκτενέστερον ἐν ἅπασι τοῖς ἄλλοις κατὰ τῆς τοῦ Νεστορίου αἱρέσεως σύγγραμμασιν αὐτοῦ. Ἡ ἐν Τρούλλῳ Σύνοδος ἐνέκρινε καὶ ἔταξεν ἐν τοῖς κανόσι τὰς δύο κανονικὰς αὐτοῦ ἐπιστολάς. Ἡ δὲ ἐν Κωνσταντινουπόλει τῷ* 448 *συστᾶσα ἀπεφήνατο ὅτι καὶ ἅπαντα τὰ ἄλλα συγγράμματα αὐτοῦ εἰσι πλήρη ἀληθείας καὶ εὐσεβείας (Βασίλ. Ἰσαύρ. ἐπ. κατὰ Εὐτυχ.). Ὁ λόγος τοῦ ἁγίου Κυρίλλου, λέγει συγγραφεύς τις,* (Centur. V, c. X, p. 645), *ἐστὶ σπουδαῖος, πρέπων ταῖς τε ἀναπτυσσομέναις ὑπ' αὐτοῦ ὑποθέσεσι καὶ τῷ ὑψηλῷ αὐτοῦ ἀξιώματι. Ἐν ταῖς κρίσεσιν αὐτοῦ ἐνυπάρχει τοιαύτη βαθύνοια καὶ ὀξύνοια, ἐν ταῖς ἐννοίαις αὐτοῦ τοιαύτη ἐνάργεια, ἐν ταῖς ἀποδείξεσι τοιαύτη δύναμις καὶ ἀκρίβεια, ἐν τῇ ἀνασκευῇ τῶν ἀντιπάλων τοιαύτη ἐνέργεια, ὥστε δικαιότατα δύναται ἀνομολογεῖσθαι ἄριστον ἐν τοῖς Διδασκάλοις τῆς Ἐκκλησίας καὶ τοῖς ἀγωνιζομένοις πρός τοὺς ἐχθροὺς αὐτῆς πρότυπον. Οἱ λόγοι καὶ αἱ ὁμιλίαι αὐτοῦ, λέγει ἕτερος συγγραφεύς* (Guillon dans la Biblioth. Chois. t. XXVII p. 115), *ἐφώτισαν τὸν αἰῶνα αὐτοῦ· τὰ πρὸς τοὺς πολεμίους συγγράμματα αὐτοῦ μέλλουσι φωτίζειν ἀείποτε ἅπαντας τοὺς αἰῶνας καὶ ἁπάσας τὰς ἐκκλησίας. Ὁ δὲ περιώνυμος Βοσσουέτος λέγει ἔν τινι τῶν λόγων αὐτοῦ: „Ἀδύνατον, ὦ ἀκροαταί μου, εἰπεῖν ὑμῖν περὶ τῆς ὑποθέσεως ταύτης (περὶ τῆς Θεότητος τοῦ Ἰησοῦ Χριστοῦ) κρείττονα τῶν εἰρημένων περὶ αὐτῆς ὑπὸ τῶν ἁγίων Πατέρων, καὶ μάλιστα ὑπὸ τοῦ ἁγίου καὶ μεγάλου Κυρίλλου". Πραγματεύεται δὲ ἐν ταὐτῷ τὰς ἰδέας τοῦ μεγάλου τούτου ἱεράρχου, εἰς τὴν ὑπόθεσιν αὐτοῦ αναφερομένας.* (Serm. T. VIII p. 29).

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*όδων, σαφέστατος“ (Ἀνάγν. 136). Ἐξεπόνησε δ' αὐτὸ ὁ θεῖος Κύριλλος κατὰ παράκλησιν φίλου τινὸς αὐτοῦ, Νεμεσίου καλουμένου, καὶ ἐπέγραψεν οὕτω, διότι, ὡς αὐτὸς λέγει ἐν τῷ προλόγῳ (προθεωρίᾳ), ἔχει ἐν ἑαυτῷ πολλὴν τῶν θείων θεωρημάτων τεθησαυρισμένην τὴν πληθύν. Διῄρηται δὲ εἰς* 35 *λόγους, πολλὰ ἄρθρα ἑκάστου αὐτῶν περιέχοντος. „Εἰδέναι δὲ χρή, λέγει αὐτόθι, τους ἐντευξαμένους, ὅτι συντέθειται μὲν κατὰ τὴν ὑποτεταγμένην προγραφὴν τὰ ἐν τῷ βιβλίῳ κεφάλαια, περιέχεται δὲ ἑκάστῳ πολλὰ πρὸς τὸν αὐτὸν συντείνοντα τῶν θεωρημάτων σκοπόν, καὶ διὰ κύκλου καὶ περιδρομῆς εἰς τὸν τοῦ περιέχοντος ἀναβαίνοντα νοῦν.“ Ἡ τοῦ συγγράμματος δὲ τούτου ὑπόθεσις ἔχει, διὰ βραχέων εἰπεῖν, ὧδε: Πραγματευσάμενος ὁ θεσπέσιος Πατὴρ μετὰ πλείστης ὅσης ἀκριβείας (λόγ.* 1—3) *τὰ περὶ τῆς ἀληθοῦς σημασίας καὶ τῆς ἀμοιβαίας σχέσεως τοῦ Ἀγεννήτου, (τοῦ Θεοῦ Πατρός), καὶ τοῦ Γεννητοῦ, (τοῦ Θεοῦ Υἱοῦ), ἀποδείκνυσι κατὰ τάξιν τὰ ἑξῆς: τὸν Υἱὸν τοῦ Θεοῦ εἶναι ἀΐδιον (λόγ.* 4. 5. 16), *τὸν αὐτὸν ἀληθῶς ἐκ Πατρὸς γεννητὸν εἶναι, οὕτως ὅμως, ὥστε τὴν γέννησιν ταύτην μήτε διαίρεσιν μήτε ἀπόρροιαν εἶναι (λόγ.* 6 *καὶ* 35)· *τὴν γέννησιν ταύτην μήτε ἀβούλητον μήτε κατὰ βούλησιν γεγονέναι (λόγ.* 7)· *ὁμοούσιον τῷ Πατρὶ τὸν Υἱὸν καὶ ὅμοιον εἶναι. Ἑρμηνεύεται δὲ ἡ ὁμοιότης αὕτη καὶ δείκνυται ἀπείρως ἀνωτέρα τῆς ὑπαρχούσης ἀνὰ μέσον Θεοῦ καὶ ἀνθρώπου (λόγ.* 8—14 *καὶ* 19). *Τέλος ἀποδείκνυσι μὴ εἶναι τὸν Υἱὸν κτίσμα ἢ ποίημα, ἀλλὰ φύσει Θεόν. Ἄριστα δὲ ἀνασκευάζει τὰς ἐνστάσεις ἃς προὐβάλλοντο οἱ αἱρετικοί, παρερμηνεύοντες καὶ διαστρέφοντες πρὸς ὑποστήριξιν τῆς ἑαυτῶν πλάνης χωρία τινὰ τῆς ἁγίας Γραφῆς. (λόγ.* 15. 17. 18. 20—32). *Ἐπὶ τούτοις καταδείκνυσι Θεὸν μὲν κατὰ φύσιν εἶναι τὸ ἅγιον Πνεῦμα καὶ ἐκ τῆς οὐσίας τοῦ Πατρός, διὰ τοῦ Υἱοῦ δὲ τῇ κτίσει χορηγούμενον. Παρατίθεται δὲ ῥητὰ τῆς ἁγίας Γραφῆς, δι' ὧν δείκνυται ὅτι ἐστὶ Θεὸς τὸ Ἅγιον Πνεῦμα· ὅτι ἔχει τὴν αὐτὴν ἐνέργειαν τῷ Υἱῷ ἁπανταχοῦ· ὅτι οὐκ ἔστιν ἀπεξενωμένον τῆς οὐσίας αὐτοῦ· καὶ ὅτι Θεοῦ λεγομένου κατοικεῖν ἐν ἡμῖν, τὸ Πνεῦμά ἐστι τὸ ἐνοικοῦν. (λόγ.* 33 *καὶ* 34).[1])

1) *Τοῦ ὄντως θαυμαστοῦ τούτου συγγράμματος γίνεται συχνὴ μνεία παρὰ τοῖς ἀρχαίοις ἐκκλησιαστικοῖς. Πρβ.* Conc. Lateran. Rom. (a. 649) Secret. V (Mansi T. X. coll. 1075—1078. 1093—1094. 1105—1108), *Συν.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

β') Ἡ βίβλος „περὶ ἁγίας τε καὶ ὁμοουσίου Τριάδος", ἐκπονηθεῖσα ἐπ' ἴσης τῷ αὐτῷ Νεμεσίῳ. Ἀποτελεῖται δὲ αὕτη ἐξ ἑπτὰ οἱονεὶ διαλόγων πρὸς τὸν πρεσβύτερον Ἑρμείαν, ᾧ καὶ προςεφώνησεν αὐτούς ὁ ἅγ. Κύριλλος. Ἐν τῷ συγγράμματι τούτῳ ποιεῖ ὡς ἄριστα φανερὸν ἐκ τῆς ἁγίας Γραφῆς, ἐναντίον τῆς πλάνης τῶν ἀντιθέων Ἀρειανῶν, ὅτι ὁ Υἱός ἐστι συναΐδιός τε καὶ ὁμοούσιος τῷ Θεῷ καὶ Πατρί, οὐδένα τόπον κατέχων ἀνὰ μέσον Θεοῦ καὶ κτισμάτων, καθ' ἃ ἐφλυάρουν οἱ αἱρετικοὶ οὗτοι (λόγ. α')· ὅτι ὁ Υἱός ἐστι κατὰ φύσιν γεννητὸς ἐκ τοῦ Πατρὸς (λόγ. β')· ὅτι ἐστὶ Θεὸς ἀληθινὸς καθ' ἃ καὶ ὁ Πατὴρ (Λόγ. γ')· καὶ ὅτι ἐστὶν οὔτε κτίσμα οὔτε ποίημα (Λογ. δ'). Ἔπειτα δὲ καταδείκνυσιν ὅτι πᾶν ὅ,τι ἐστὶν ἴδιον τῆς Θεότητος εὑρίσκεται ἐν τῷ Υἱῷ καθ' ἃ καὶ ἐν τῷ Πατρί (Λογ. ε'), καὶ ὅτι τὰ τῇ ἀνθρωπότητι ἰδιάζοντα, καὶ τὰ οὐ σφόδρα θεοπρεπῶς εἰρημένα περὶ τοῦ Υἱοῦ ἀναφέρονται μᾶλλον εἰς τὴν μετὰ τῆς σαρκὸς οἰκονομίαν, καὶ οὐχὶ εἰς αὐτὴν τὴν φύσιν τοῦ Λόγου, καθ' ἣν νοεῖται καὶ ἔστι Θεός (Λογ. ς'). Τέλος δὲ ἀποδείκνυσιν ὅτι ἐστὶν ἀληθινὸς Θεὸς καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, ὁμοούσιον ὂν τῷ Πατρὶ καὶ τῷ Υἱῷ (Λόγ. ζ').[1])

γ') Ἡ βίβλος „περὶ τῆς ἁγίας καὶ ζωοποιοῦ Τριάδος".[2]) — Αὕτη ἀποτελεῖται ἐκ προοιμίου καὶ ἐξ εἴκοσι καὶ ὀκτὼ κεφαλαίων, ὑπόθεσιν ἔχουσα τήνδε: (ἐν κφ. α'.) Ὁ Θεὸς ποιεῖται περὶ πολλοῦ τὴν τῶν ἀνθρώπων σωτηρίαν· ἐντεῦθεν ἀπέστειλε τοὺς Ἀποστόλους Αὐτοῦ ἵνα φωτίσωσι τοὺς ἐν τῷ σκότει τῆς ἀγνοίας συντεθραμμένους. ἐντεῦθεν δὲ καὶ

---

Κωνσταντιν. γενομ. τῷ 680. Πρ. Δ'. (Mansi T. XI, coll. 259—260. 265—266) καὶ Πρ. Ι. (αὐτόθ. coll. 409—410. 417—420. 429—430. 431—432). ἅγ. Εὐφραίμ. τὸν Ἀντιοχ. παρὰ Φωτ. ἀνάγν. 229. ἅγ. Εὐλογ. τὸν Ἀλεξανδρ. παρὰ Φωτ. ἀνάγν. 230. Λεόντ. τὸν Βυζάντ. κατὰ Νεστορ. καὶ Εὐτυχ. βιβλ. β'. Tillemont Art. CLVII p. 670—671. Ceillier Art. II. §. 11. n. 1—19. p. 263—272. Dupin T. IV. p. 44—45. Cas. Oudin. T. 1. p. 1028—1032. J. A. Fabricii Bibl. Gr. Vol. IX p. 461—462. Fessler inst. Patr. T. II p. 535—537.

1) Τοῦ συγγράμματος τούτου ποιοῦνται μνείαν Λεόντ. ὁ Βυζάντιος κατὰ Νεστορ. καὶ Εὐτυχ. βιβλ. α'. Ἀναστάσ. ὁ Σιν. ἐν τῷ Ὁδηγ. κεφ. 9 καὶ 22, καὶ ὁ ἅγ. Ἰωάννης ὁ Δαμασκ. ἐν τῇ ἐπ. περὶ τοῦ τρισαγίου ὕμνου, κεφ. 23. Πρβλ. Tillemont Art. CLV p. 664—665. Ceillier I. c. §. 11. n. 20—27. J. Garner. in Opp. Marii Mercat. P. II. p. 43. Fessler Inst. Patrol. T. II p. 537.

2) Τὸ σύγγραμμα τοῦτο ἀνευρέθη καὶ ἐξεδόθη τὸ πρῶτον ὑπὸ τοῦ περικλεοῦς καρδιναλίου Ἀγγέλου Μαΐου in Script. Vet. Auct. Nov. collect. T. VIII. P. II. p. 27—58.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὀφείλουσιν οἱ τὴν παρακαταθήκην τῆς διδασκαλίας τηροῦντες προνοεῖν περὶ τῶν ἀδελφῶν αὐτῶν. — Ἐν κεφ. β΄. Ὁ τοῦ ἐκκλησιαστικοῦ λόγου χαρακτὴρ ἀνάγκη ἵνα ᾖ σαφής, ἁπλοῦς, διδακτικός, μὴ ἀντιλογικός, μὴ δικανικός, τεχνολογίας ἀπηλλαγμένος· τοιοῦτος, οἷον ἐξέθηκεν αὐτὸν τὸ πανάγιον Πνεῦμα. Ἐν κεφ. γ΄. Ἡ διδασκαλία προτεθείσθω τοῖς τροφίμοις τῆς πίστεως. Ἐν κεφ. δ΄. Τίνα γνώμην δεῖ ἔχειν περὶ τοῦ Θεοῦ καὶ Πατρός; „Πιστεύομεν εἰς ἕνα Θεὸν Πατέρα ἄναρχον καὶ ἀγέννητον, ἀεὶ ὄντα Πατέρα, οὐχ ὕστερον τοῦτο κτησάμενον· οὐ γὰρ ἦν ὅτε οὐκ ἦν, ἀλλ᾽ ἄνωθεν ἦν Πατήρ". Ἐν κεφ. ε΄. Περὶ τοῦ Υἱοῦ δεῖ φρονεῖν εἶναι „συναΐδιον τῷ γεννήσαντι, οὐκ ἀρχὴν τοῦ εἶναι λαβόντα, ἀλλ᾽ ἀεὶ ὄντα, καὶ σὺν Πατρὶ ὄντα." Ἐν κεφ. ς΄. Αἱ Γραφαὶ διδάσκουσι τὸν Υἱὸν εἶναι συναΐδιον τῷ Πατρί. Ἐν κεφ. ζ΄. Ἡ παλαιὰ Διαθήκη ἀποδείκνυσιν ὅτι ἀΐδιος ὁ Υἱὸς τοῦ Θεοῦ. Ἐν κεφ. η΄. Ὑπάρχουσιν ἰδιότητες ἁρμόττουσαι τῷ Θείῳ Λόγῳ, καὶ ἕτεραι τῇ ἀνθρωπίνῃ φύσει, ἣν ἀνέλαβε. Ἐν κεφ. θ΄. Ἡ ἐκ Θεοῦ γέννησίς ἐστι τελείως διάφορος τῆς ἀνθρωπίνης, διότι ὁ Θεός ἐστιν ἀσώματος, ἀπαθής, ἄτρεπος καὶ ἀναλλοίωτος. Ἐν κεφ. ι΄. Ἰδοὺ τὰ ὀνόματα τοῦ Κυρίου ἡμῶν: ὁ Υἱὸς τοῦ Θεοῦ καλεῖται Λόγος, „ὡς ἀπαθῶς γεννηθείς, κατὰ τὸν ἐκ τοῦ νοῦ γεγενημένον λόγον ἀπαθῶς. Υἱὸς δὲ καλεῖται ὡς ἐκ τοῦ Πατρὸς γεννητῶς προελθών. Θεὸς δὲ προσαγορεύεται, ὡς τῆς πατρικῆς φύσεως μετέχων, καὶ ἀπαράλλακτος εἰκὼν ὑπάρχων τοῦ Θεοῦ γεννήσαντος. Μονογενὴς δὲ ὡς μόνος ἐκ μόνου, καὶ μονοτρόπως γεννηθείς· ἀπαύγασμα δόξης ὡς ἐν αὐτῷ τὸν Πατέρα δεικνύς, καὶ ἀεὶ συνὼν τῷ γεννήσαντι, ὥσπερ τῷ φωτὶ τὸ ἀπαύγασμα. Χαρακτὴρ ὑποστάσεως, ἵνα μὴ ψιλὴν ἐνέργειαν, ἀλλὰ ζῶσαν ὑπόστασιν τὸν Θεὸν Λόγον εἶναι πιστεύσῃς, ὅλον ἐν ἑαυτῇ τὸν γεννήσαντα δεικνῦσαν· τὸ δὲ πρωτότοκος οὐκ ἔστι τῆς θείας φύσεως, ἀλλὰ τῆς οἰκονομίας ὄνομα . . ." Ἐν κεφ. ια΄. Οὐδεὶς οἶδε τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ, καὶ οὐδεὶς οἶδε τὸν Πατέρα εἰ μὴ ὁ Υἱός. Ἐν κεφ. ιβ΄. Ἡ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ δύναμίς ἐστιν ἴση. Ἐν κεφ. ιγ΄. Πολλαχόθεν ἐστὶ μαθεῖν τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὴν ἰσότητα. Ἐν κεφ. ιδ΄. Ἀποδείκνυται ὅτι ὁ Υἱός ἐστιν ἰσότιμος τῷ Πατρί. Ἐν κεφ. ιε΄. Μία ἐστὶν ἡ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ φύσις. Ἐν κεφ. ιζ΄. Τὸ ὁμοούσιον τοῦ Υἱοῦ τῷ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Πατρὶ διδάσκεται πολλαχοῦ τοῦ Εὐαγγελίου. Ἐν κεφ. ιζ΄. Ὁ Υἱὸς ἐδοξάσθη ὑπὸ τοῦ Πατρός. Ἀλλὰ λέγουσιν οἱ αἱρετικοί, ὁ δοξάζων ἐστὶ μείζων τοῦ δοξαζομένου. Ἐνταῦθα ὑπάρχει ἀμοιβαιότης, λέγει ὁ ἅγιος Κύριλλος. Ὁ Υἱὸς ἀμοιβαίως ἐδόξασε τὸν Πατέρα· ὁ Πατὴρ ἄρα ἐστὶν ἐλάττων διὰ τοῦτο τοῦ Υἱοῦ; Καὶ ἐν κεφ. ιη΄. Ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἔχουσι τὴν αὐτὴν δεσποτείαν.

Τὰ ἑπόμενα κεφάλαια, μέχρι τοῦ κη΄, πραγματεύονται τὰ περὶ τοῦ Ἁγίου Πνεύματος. Ἐν κεφ. ιθ΄ λέγει: „Πιστεύομεν τοίνυν, ὡς ἔφην, εἰς Θεὸν Πατέρα ἄναρχον, καὶ εἰς Θεὸν συναΐδιον φύσει Υἱόν, ἐκ Πατρὸς μὲν γεννηθέντα, ἀεὶ δὲ τῷ Πατρὶ συνόντα . . . πιστεύομεν δὲ καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ εὐθές, τὸ ἡγεμονικόν, τὸ ἀγαθόν, τὸ παράκλητον, τὸ ἐκ Θεοῦ προελθόν, οὐ γεννηθέν . . ἐκπορευόμενον δὲ αὐτὸ ἐκ τοῦ Πατρὸς ἠκούσαμεν, καὶ οὐ πολυπραγμονοῦμεν πῶς ἐκπορεύεται, ἀλλὰ στέργομεν τοῖς τεθεῖσιν ἡμῖν ὅροις ὑπὸ τῶν θεολόγων καὶ μακαρίων ἀνδρῶν.“

Ἐν κεφ. κ΄ λέγει: Τὸ Ἅγιον Πνεῦμα συντάσσεται τῷ Πατρὶ καὶ τῷ Υἱῷ, διότι ὁ Κύριος ἡμῶν ἀποστέλλων τοὺς μαθητὰς Αὐτοῦ, εἶπεν αὐτοῖς: „Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος“· ἔστιν ὑπέρτερον τῆς κτίσεως πάσης, τῷ Πατρὶ καὶ τῷ Υἱῷ συμμαρτυρούμενον. Ὁ Ἀπόστολος Παῦλος λέγει: „ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ, . . καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος . .“ Ἐν κεφ. κα΄. Ἀποδείκνυται ἡ τοῦ Πνεύματος δεσποτεία. Ἐν κεφ. κβ΄. Ὁ Παράκλητός ἐστι δημιουργός. — Ὁ Ἰὼβ λέγει, ὅτι τὸ ἅγιον Πνεῦμά ἐστι δημιουργὸν καὶ δεσποτικόν, ἀλλ' οὐχ ὑπουργικόν, οὐδὲ ποίημα. Εν κεφ. κγ΄. Τὸ ἅγιον Πνεῦμά ἐστιν ἐκ Θεοῦ· ἔχει τὴν θείαν οὐσίαν. Ἐν τῷ τέλει τοῦ κεφαλαίου τούτου λέγει: „Διὸ τὸ Πνεῦμα εἶπε τὸ ἐκ τοῦ Θεοῦ, διδάσκων ὡς ἐκ τοῦ Πατρὸς ἔχει ὕπαρξιν, κἀκείνης ὑπάρχει τῆς φύσεως, οὐδὲ γεννητικῶς, ἀλλ' ὡς οἶδε μόνος ὁ τὸν Υἱὸν ἐπιστάμενος, καὶ ὁ μόνος τὸν Πατέρα γινώσκων, καὶ τὸ μόνον Πατέρα καὶ Υἱὸν ἐπιστάμενον· ὃ ἐκ Θεοῦ μεμαθήκαμεν, τὸν δὲ τρόπον οὐκ ἐδιδάχθημεν. Ἀρκούμεθα δὲ τοῖς δοθεῖσι μέτροις τῆς γνώσεως, καὶ οὐ πολυπραγμονοῦμεν ἀγνοήτως τὰ ἀνέφικτα.“[1]) Ἐν κεφ. κδ΄.

---

1) Ἡ ἐν τῷ κεφαλαίῳ τούτῳ, ὥσπερ καὶ ἡ ἐν τῷ ιθ΄, διδασκαλία τοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Ο μέγας Ἀπόστολος Παῦλος διδάσκει τὸ ἅγιον Πνεῦμα εἶναι Θεόν. Ἐν κεφ. κε'. Καὶ ὁ Ἀπόστολος Πέτρος ἔχει τὴν αὐτὴν*

---

ἁγίου Κυρίλλου περὶ τοῦ ἁγίου Πνεύματος, ἐστὶ σπουδαία τὰ μάλιστα. Ἐνταῦθα, λέγει ὁ ἀοίδιμος πρώην Ἀρχιεπίσκοπος Τζερνίγωφ Φιλάρετος, αἱ τοῦ ἁγίου Κυρίλλου περὶ ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος ἔννοιαι εἰσι τοιαῦται: α'.) ἐὰν ὄντως παραδεχώμεθα ὅτι ἡ ἁγ. Γραφὴ διδάσκει τὰ περὶ τῆς σχέσεως τοῦ ἁγίου Πνεύματος πρὸς τὰ ἕτερα τῆς Θεότητος πρόσωπα, αὕτη διδάσκει σαφῶς καὶ ὡρισμένως τοῦτο μόνον, ὅτι τὸ ἅγιον Πνεῦμα ἐκπορεύεται ἐκ τοῦ Πατρός· β'.) ἡ περὶ τῆς σχέσεως ταύτης διδασκαλία, κατὰ τοὺς λόγους τοῦ ἁγ. Κυρίλλου, ὡρίσθη ἡμῖν ὅροις τεθεῖσιν ὑπὸ θεολόγων καὶ μακαρίων ἀνδρῶν, δηλ. ὑπὸ προηγησαμένων τοῦ ἁγ. Κυρίλλου Διδασκάλων· γ'.) τὸ ὕψος τοῦ λόγου δείκνυσιν ὅτι ὁ ἅγ. Κύριλλος ποιεῖται τὸν περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος λόγον ἐκ δοθείσης τινὸς ἀφορμῆς, καὶ ὅτι εἶχεν ὑπ' ὄψει τὸν ἀναγκάσαντα αὐτὸν διασαφῆσαι τὴν ἰδίαν αὐτοῦ ἔννοιαν. Ἡ δοθεῖσα δὲ αὐτῷ ἀφορμὴ ἐστι γνωστή. Ὁ Θεοδώρητος δηλ. ἐν ταῖς σημειώσεσιν αὐτοῦ εἰς τοὺς ἀναθεματισμοὺς τοῦ Κυρίλλου, ἐναντίον τοῦ θ' ἄρθρου, ἔνθα τὸ Πνεῦμα τὸ ἅγιον ὀνομάζεται Πνεῦμα τοῦ Υἱοῦ, ἔγραψεν: „ἴδιον δὲ τὸ Πνεῦμα τοῦ Υἱοῦ, εἰ μὲν ὡς ὁμοφυές, καὶ ἐκ Πατρὸς ἐκπορευόμενον ἔφη, συνομολογήσομεν, καὶ ὡς εὐσεβῆ δεξόμεθα τὴν φωνήν. Εἰ δ' ὡς ἐξ Υἱοῦ, ἢ δι' Υἱοῦ τὴν ὕπαρξιν ἔχον, ὡς βλάσφημον τοῦτο καὶ ὡς δυσσεβὲς ἀπορρίψομεν.“ Εἰ καὶ κατὰ τἄλλα οὐκ εἶχε δίκαιον ὁ Θεοδώρητος αὐστηρῶς πάνυ τῷ Κυρίλλῳ ἐπιτιθέμενος, ὅμως ὀρθὴν ἐνέβαλε πρὸς τὴν περὶ τοῦ ἁγίου Πνεύματος διδασκαλίαν σημείωσιν, ἐπωφελῶς τὴν δραστηριότητα τοῦ ἁγ. Κυρίλλου κινήσασαν. Ὁ Θεοδώρητος, ἐμβάλλων τὴν αὐστηρὰν ἐπὶ τῆς περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος ἐννοίας σημείωσιν, εἶχεν ὑπ' ὄψει οὐχὶ τοσοῦτον τὸν θ' τοῦ ἁγ. Κυρίλλου ἀναθεματισμὸν, ὅσον τοὺς λόγους τούτου, τοὺς ἐν τῇ ἐπιστολῇ ἐκείνῃ πρὸς τὸν Νεστόριον, ἐν ᾗ οἱ ἀναθεματισμοὶ ὑπετάχθησαν. Ἐν τῇ ἐπιστολῇ δηλ. ταύτῃ μετὰ τὴν ῥῆσιν ὅτι τὸ Πνεῦμα οὐκ ἔστιν ἀλλότριον τοῦ Υἱοῦ, ἐγράφη: καὶ προχεῖται παρ' αὐτοῦ, καθάπερ ἀμέλει καὶ ἐκ τοῦ Θεοῦ καὶ Πατρός, ἐν δὲ τῷ ἀναθεματισμῷ, τὸ ἅγιον Πνεῦμα καλεῖται μόνον Πνεῦμα τοῦ Υἱοῦ. Ὁ Κύριλλος καὶ ἐν ἄλλοις αὐτοῦ συγγράμμασι, συγγραφεῖσι πρὶν ἢ ἐμβάλῃ αὐτῷ τὰς σημειώσεις ὁ Θεοδώρητος, διεσήμηνε τὴν αὐτὴν γνώμην περὶ τοῦ ἁγίου Πνεύματος, μάτην καὶ ἀτόπως φρονῶν, ὅτι διὰ τῆς ἐκπορεύσεως καὶ ἐκ τοῦ Υἱοῦ ἀπεδείνυ τὴν θεότητα τοῦ ἁγίου Πνεύματος· ἰδίᾳ δὲ συχνῶς ἐπανελάμβανε τὴν ἰδέαν ταύτην ἐν τοῖς Θησαυροῖς. (Ἅπας ὁ λδ' λόγ. ἐστὶ πλήρης τῆς ἐννοίας ταύτης. Λέγει δηλ. „ὅτι ἐκ τῆς οὐσίας τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον“ σελ. 344. „Ὅτε τοίνυν τὸ Πνεῦμα τὸ ἅγιον ἐν ἡμῖν γενόμενον, συμμόρφους ἀποδεικνύει Θεῷ, πρόεισι δὲ καὶ ἐκ Πατρὸς καὶ Υἱοῦ, πρόδηλον, ὅτι τῆς θείας ἐστὶν οὐσίας, οὐσιωδῶς ἐν αὐτῇ καὶ ἐξ αὐτῆς προϊόν.“ σελ. 345. Πρβλ. 339. 342. 343. 347. 354. 358 κτλ. Τὸ αὐτὸ ἀπαντᾷ καὶ ἐν τῷ βιβλίῳ περὶ τῆς ἐν Πνεύματι καὶ ἀληθείᾳ προσκυνήσεως. Τ. ι' σελ. 9. Ἐν τῇ ἑρμην. εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον, βιβλ. 10. ἐν τῷ στ. 26 καὶ 27. κεφ. 15. σελ. 910. 987. βιβλ. 11. κεφ. 1 καὶ 2.) Ἀλλ' ὁ τῆς Ἀλεξανδρείας ποιμὴν ἐπωφελῶς ταῖς τοῦ Θεοδωρήτου ἐχρήσατο σημειώσεσιν. Ἐν ταῖς πρὸς ταύτας ἀποκρίσεσιν αὐτοῦ ἔγραψεν ὅτι



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῷ Παύλῳ πίστιν. Συνελόντι δ' εἰπεῖν, πολλὰς ὁ ἅγιος Κύριλλος παρατίθεται τὰς περὶ τῆς Θεότητος τοῦ ἁγίου Πνεύματος ἀποδείξεις. Τὸ κη' κεφάλαιόν ἐστιν ἀνακεφαλαίωσις τῆς περὶ τῆς παναγίας Τριάδος καθολικῆς πίστεως. „Τοίνυν μίαν τῆς Τριάδος τὴν φύσιν εἶναι πιστεύομεν, μίαν οὐσίαν ἐν τρισὶν ἰδιότησι γνωριζομένην, τὴν ἐξουσίαν ἀμέριστον, τὴν βασιλείαν ἀδιαίρετον, μίαν Θεότητά τε καὶ κυριότητα. Οὕτω γὰρ καὶ μονὰς ἐν τῷ ταὐτῷ τῆς οὐσίας δείκνυται, καὶ ἡ Τριὰς οὐκ ἐν ψιλοῖς τοῖς ὀνόμασιν, ἀλλ' ἐν ταῖς ὑποστάσεσι γνωρίζεται. Οὐ γὰρ ἓν λέγομεν τριώνυμον κατὰ τὴν τοῦ Σαβελλίου καὶ Φωτεινοῦ καὶ Μαρκέλλου συναίρεσίν τε καὶ σύγχυσιν· οὐ τρία ἀλλόφυλά τε καὶ ἑτεροούσια, ἄνισα καὶ ἀνόμοια, ἀλλήλων ὑπερκείμενα, νῷ καὶ γλώττῃ μετρούμενά τε καὶ ταλαντευόμενα, κατὰ τὴν Ἀρείου διαίρεσίν τε καὶ ἀλλοτρίωσιν καὶ δυσσεβῆ πολυπραγμοσύνην· ἀλλὰ τρεῖς μὲν τὰς ὑποστάσεις, μίαν δὲ τῆς Τριάδος τὴν φύσιν, ἀσώματον, ἄτρεπτον, ἀναλλοίωτον ... Ταύτην τὴν πίστιν κατέχομεν· ταύτην γὰρ παρὰ τῶν θεολόγων ἀνδρῶν ἐδιδάχθημεν . . . ."

δ') Ἡ βίβλος περὶ τῆς ἐνανθρωπήσεως τοῦ Μονογενοῦς. — Τὸ σύγγραμμα τοῦτο θεωρεῖται δικαίως ὡς κλεὶς πρὸς κατάληψιν τῆς καὶ ἐν ἅπασι τοῖς λοιποῖς τοῦ ἁγίου Κυρίλλου ἔργοις περιεχομένης διδασκαλίας περὶ τῆς τοῦ Υἱοῦ τοῦ

---

ὄντως τὸ ἄρθρον τοῦτο τῆς πίστεως ἐννοεῖ καὶ αὐτὸς κατὰ τὴν τοῦ Θεοδωρήτου ἀξίωσιν. (Πρ. τῆς ἐν Ἐφ. Συν. μέρ. γ'. κεφ. 3.) Ἐν τῇ ἐπιστολῇ πρὸς Ἰωάννην τὸν Ἀντιοχείας, ὅτε ἐγένοντο αἱ ἀναφοραὶ περὶ τῆς πρὸς τοὺς ἐπισκόπους τῆς Συρίας διαλλαγῆς, ἔγραψε περὶ τοῦ Πνεύματος, ὅτι „ἐκπορεύεται ἐκ τοῦ Πατρός, ἔστι δὲ οὐκ ἀλλότριον τοῦ Υἱοῦ κατὰ τὸν τῆς οὐσίας λόγον." (T. V p. 2. 108. Τὸ αὐτὸ καὶ ἐν τῇ ἐπιστολῇ πρὸς Εὐόπτιον.) Καὶ ὁ Θεοδώρητος δὲ ἐμαρτύρησεν ὅτι ὁ Κύριλλος μετέβαλε τὰς περὶ τοῦ ἁγίου Πνεύματος φράσεις αὐτοῦ. Ἐν τῷ κατὰ τοῦ Ἰουλιανοῦ συγγράμματι, ὅπερ ἐγράφη, ὡς πάντες ὁμολογοῦσι, μετὰ τὴν ἐν Ἐφέσῳ Σύνοδον, ποιεῖται λόγον ἐνιαχοῦ περὶ τῆς τοῦ ἁγ. Πνεύματος ἐκπορεύσεως καὶ ἀποφαίνεται ἐνιαχοῦ περὶ αὐτοῦ ὧδε: „Πρόεισι μὲν οὖν ἀρρήτως ἐκ τοῦ Πατρὸς τὸ ζωοποιοῦν ἅγιον Πνεῦμα· χορηγεῖται δὲ τῇ κτίσει δι' Υἱοῦ" (βιβλ. Δ. σελ. 147. Ἴδε καὶ βιβλ. β' σελ. 55. α'. σελ. 35. ή. σελ. 264). Αὐτὸ τοῦτο λέγεται καὶ ἐν τῇ ἑρμηνείᾳ εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον καὶ εἰς τὴν τοῦ Συμβόλου ἐξήγησιν. Ἀρίστην δὲ μαρτυρίαν τοῦ ἁγ. Κυρίλλου περὶ τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως παρέχει τὸ σύγγραμμα περὶ τῆς ἁγίας καὶ ζωοποιοῦ Τριάδος, ὅπερ ἐγράφη, κατὰ τοὺς λόγους αὐτοῦ, μετ' ἰδιαζούσης προσοχῆς, καὶ περιέχει τὴν ἐκκλησιαστικὴν διδασκαλίαν (Ἱστορ. διδασκαλ. περὶ τῶν Πατέρων τῆς Ἐκκλησίας T. 3. σελ. 109—112).

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῦ Θεοῦ Ἐνανθρωπήσεως. Ἐν αὐτῷ ὁρίζονται αἱ ἀφορῶσαι εἰς τὸ μυστήριον τῆς Ἐνανθρωπήσεως ἔννοιαι, τί ἐστὶν ὁ Χριστός; πῶς ἐννοητέον τὸν Ἐμμανουήλ; τί ἐστὶν ὁ Ἰησοῦς; τίνα λέγομεν εἶναι τὴν ἕνωσιν; διὰ τί ὠνόμασται ἄνθρωπος ὁ ἐκ τοῦ Θεοῦ Πατρὸς Λόγος, καίτοι κατὰ φύσιν ὑπάρχων Θεός; διὰ τί λέγεται κενῶσαι ἑαυτόν; πῶς ἐστὶν εἷς Χριστός; πῶς ἐστὶν εἷς ὁ Ἐμμανουήλ; κ. τ. λ. Τὸ πλεῖστον μέρος τοῦ συγγραμμάτος τούτου διεσώθη μόνον λατινιστί, ἐν τῇ μεταφράσει τοῦ Μαρίου Μερκάτορος.

ε΄) *Περὶ τῆς τοῦ Κυρίου Ἐνανθρωπήσεως.* — Τὸ σύγγραμμα τοῦτο ἐξεδόθη τῷ 1833 ὑπὸ τοῦ Ἀγγέλου Μαΐου (in Script. Vet. Nov. Collect. T. VIII P. II p. 59—107). Μετὰ τὴν εἰςαγωγήν, περιέχει ἐν τοῖς κεφ. β΄—ζ΄ τὴν ἀφήγησιν τῶν ἔργων τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπον ἀπὸ τῆς τοῦ κόσμου ἀρχῆς. Εν τῷ η΄ κεφ. ἀποδείκνυται, ὅτι φιλανθρωπίας γέμει ἡ τοῦ Θεοῦ Ἐνανθρώπησις. Ἐν τῷ θ΄ ἐλέγχονται οἱ αἱρετικοὶ Ἄρειος, Εὐνόμιος, Ἀπολινάριος, Μαρκίων, καὶ Μάνης. Ἐν τῷ ι΄ ἑρμηνεύεται τό: „ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων". Ἀπο τοῦ ια΄ μέχρι τοῦ ιδ΄ κεφαλαίου ἀναπτύσσεται τὸ τίνος χάριν ἀνέλαβεν ὁ Θεὸς Λόγος τὴν ἀνθρωπίνην φύσιν; — Ἀπὸ τοῦ ιε΄ μέχρι τοῦ κ΄ ἀνασκευάζεται ἡ τοῦ Ἀπολιναρίου πλάνη. Ἐν τῷ κα΄ ἀποδείκνυται ἐκ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς ἡ διάκρισις καὶ ἡ ἕνωσις τῶν φύσεων ἐν τῷ Χριστῷ Ἰησοῦ. Ἐν τῷ κβ΄ ὅτι ὁ Ἰησοῦς, καὶ Θεὸς Λόγος καὶ ἄνθρωπος λέγεται. Ἐν τῷ κγ΄ γίνεται λόγος περὶ τῆς ἐκ τῆς Παρθένου ἀρρήτου τοῦ Κυρίου γεννήσεως. Τὰ δὲ κδ΄ καὶ κε΄ κεφάλαια περιέχουσι καθόλου τὸν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ βίον. Τὰ κεφ. κϛ΄, κζ΄, καὶ κη΄, ἔχουσιν ὑπόθεσιν: τὰ θαύματα Αὐτοῦ, τὰ σωτήρια Πάθη, ἅπερ κατεδέξατο ἑκουσίως· τὴν αἰτίαν δι' ἣν ὑπέστη αὐτά, καὶ τὴν δι' αὐτῶν γενομένην ἡμῖν σωτηρίαν. Ἐν τοῖς κθ΄, λ΄, λα΄, λβ΄ καὶ λγ΄ ἀποδείκνυται, ὅτι ὁ Κύριος Ἰησοῦς Χριστὸς ἔλαβεν ὄντως ἀνθρωπίνην φύσιν, ὅτι ἐστὶν Υἱὸς τοῦ Θεοῦ, ὅτι δύο μέν εἰσιν αἱ φύσεις Αὐτοῦ, ἓν δὲ τὸ πρόσωπον· ὅτι οὐχ ὅσιον λέγειν κρᾶσιν ἐπὶ Χριστοῦ, ἀλλ' ἕνωσιν· ὅτι ὁ Κύριος, ἀναληφθεὶς εἰς οὐρανοὺς μετὰ τῆς ἡμετέρας φύσεως, κατέπεμψεν ἡμῖν, ὡς ἐπηγγείλατο, τὸ Πνεῦμα τὸ Ἅγιον, ὅπερ ἐστὶ φῶς τῶν προσιόντων τῇ πίστει ἄσβεστον καὶ ἀνέσπερον, ἰατρὸς τῶν ὑπὸ τῆς ἁμαρτίας γενομένων τραυμάτων, στρατηγὸς ἀρι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*στεύειν κατὰ τοῦ διαβόλου διδάσκων . . . Ἐν τῷ λδ' κεφ. περιέχεται προτροπὴ εὐχαριστίας, καὶ ἀποτροπὴ ὑπερβολικῆς περιεργίας. Ἐν τῷ λε' λέγεται, ὅτι χρὴ λέγειν Θεοτόκον καὶ ἀνθρωποτόκον τὴν παναγίαν Παρθένον, διότι ὁ ἐξ αὐτῆς γεννηθείς ἐστι Θεὸς ἅμα καὶ ἄνθρωπος.*[1])

*ς') Ἡ βίβλος περὶ τῆς ὀρθῆς πίστεως τῆς εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. — Τὸ σύγγραμμα τοῦτο προσεφώνησε τῷ αὐτοκράτορι Θεοδοσίῳ. Μετὰ τὸν ἀναφερόμενον πρὸς τὸν αὐτοκράτορα, καὶ τὴν σύζυγον αὐτοῦ Εὐδοκίαν, καὶ τὴν ἀδελφὴν Πουλχερίαν πρόλογον, προβαίνει ὁ θεσπέσιος Πατὴρ εἰς τὴν ἀνάπτυξιν τοῦ μυστηρίου τῆς Ἐνανθρωπήσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ. Πρὸς τοῦτο δὲ προτίθησιν ὡς ἐν πίνακι τὰς κατὰ τοῦ παναγίου τούτου μυστηρίου πλάνας, ἀνασκευάζων αὐτὰς διὰ βραχέων μέν, ἀλλὰ καὶ ἰσχυρῶν ἀποδείξεων. Ἐντεῦθεν ἀπελέγχει ἐν ἀρχῇ μὲν τοὺς Μανιχαίους, τοὺς Γνωστικούς, τοὺς Μαρκελλιανούς, τοὺς Φωτεινιανοὺς καὶ τοὺς Ἀπολιναριστάς, ἔπειτα δὲ τὰς τοῦ Νεστορίου πλάνας, οὐδὲ μνείαν τοῦ ὀνόματος αὐτοῦ ποιησάμενος. Ἐν τῷ ἐλέγχῳ δὲ τῶν πλανῶν τούτου ἀναπτύσσει ὡς ἄριστα τὴν ὀρθόδοξον διδασκαλίαν περὶ τῆς θαυμαστῷ καὶ ἀκαταλήπτῳ τῷ τρόπῳ γενομένης ἑνώσεως τῶν δύω ἐν τῷ προσώπῳ τοῦ Ἰησοῦ Χριστοῦ φύσεων.*

*ζ') Τὰ δύο βιβλία περὶ τῆς ὀρθῆς πίστεως, ἢ προσφωνητικὸς α' καὶ β' ταῖς εὐσεβεστάταις βασιλίσσαις. Ἐν τῷ πρώτῳ βιβλίῳ ὑπερασπίζει ὁ ἔνθεος τῆς ὀρθοδοξίας ὑπέρμαχος τὴν περὶ ἐνανθρωπήσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ ὀρθόδοξον διδασκαλίαν μόνον κατὰ τῶν τοῦ Νεστορίου πλανῶν. Ἐνταῦθα το μὲν πρῶτον παράγει μαρτυρίας τῶν ἁγίων Πατέ-*

---

1) *Ἔχοντες ὑπ' ὄψει, λέγει ὁ ἀνωτέρω μνημονευθεὶς ἀρχιεπίσκοπος Φιλάρετος, τὴν ἱστορίαν τῆς πάλης τοῦ ποιμένος τῆς Ἀλεξανδρείας πρὸς τὸν Νεστόριον, ῥαδίως ἐννοοῦμεν α'.) διὰ τί γίνεται τοσοῦτος ἐν τῷ συγγράμματι τούτῳ λόγος περὶ τοῦ Ἀπολιναρίου, καὶ β'.) ὅτι πικρὰ πεῖρα ἠνάγκασε τὸν ζηλωτὴν τῆς ὀρθοδοξίας ἐκφέρειν μετὰ προσοχῆς τὰς ὀρθοδόξους αὐτοῦ ἰδέας, καὶ λέγειν: ἓν πρόσωπον καὶ δύο φύσεις ἐν Χριστῷ, αὐτοῦ τούτου λέγοντος πρότερον τὴν αὐτὴν ἔννοιαν ὧδε: μία φύσις τοῦ Λόγου σεσαρκωμένου, ὅπερ αὐτῷ μὲν τοσαύτας παρέσχε πικρίας, τοῖς δὲ ἀπροσέκτοις τὴν ἀφορμὴν τοῦ στηρίξαι ἐπὶ τῆς ἀσαφοῦς ταύτης φράσεως τὴν ψευδῆ περὶ μιᾶς ἐν Χριστῷ φύσεως ἔννοιαν. Ἡ ἀσάφεια δὲ τῆς φράσεως ταύτης ἔγκειται ἐν τούτῳ. ὅτι, ἀντὶ τῆς λέξεως πρόσωπον, ἐχρῆτο τῇ λέξει φύσις. (Ἱστορικὴ διδασκαλία περὶ τῶν Πατέρων τῆς Ἐκκλησίας Τ. Γ'. σελ. 107—108.)*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρων Ἀθανασίου, Ἀττικοῦ, Ἀντιόχου, Ἀμφιλοχίου, Ἄμμωνος, Ἰωάννου τοῦ Χρυσοστόμου, Σεβηριανοῦ, Οὐϊταλίου, καὶ Θεοφίλου, πρὸς ὑποστήριξιν τοῦ ὅτι ἀείποτε ἀπεδίδου ἡ Ἐκκλησία τῇ παναγίᾳ Παρθένῳ Μαρίᾳ τὸ ὄνομα Θεοτόκου· ἔπειτα δὲ δείκνυσι διὰ μαρτυριῶν τῆς ἁγίας Γραφῆς, ὅτι Θεὸς ὁ Χριστός, ἑνώσει τῇ πρὸς τὸν Θεὸν Λόγον εἰς τὴν αὐτοῦ δόξαν, ἀναβαίνοντος καὶ τοῦ προσληφθέντος ναοῦ, ὅτι ζωὴ καὶ ζωοποιὸς ὁ Χριστός, ὅτι εἰς Χριστὸν ἡ πίστις ὡς εἰς Θεόν, ὅτι ζωὴ καὶ ἱλαστήριον ὁ Χριστός, καὶ ὅτι ὁ Χριστοῦ θάνατος σωτηρία τῷ κόσμῳ ἐγένετο. Ἐν τῷ δευτέρῳ βιβλίῳ πραγματεύεται ὡσαύτως τὰ περὶ τῆς αὐτῆς ὑποθέσεως, καὶ θαυμασίως δείκνυσιν ὅτι, τὰ πάθη καὶ ὁ θάνατος τοῦ Χριστοῦ, ἡ ὑπακοὴ Αὐτοῦ, ὁ ἁγιασμὸς καὶ ἡ ἱερωσύνη, ἡ παρὰ τοῦ Πατρὸς ληφθεῖσα δόξα, ἡ ἐκ νεκρῶν ἀνάστασις ἐν δυνάμει τοῦ Πατρός, τὸ ὄνομα τέλος Υἱὸς τοῦ ἀνθρώπου, οὔτε τὸ ἐν Αὐτῷ θεῖον μεγαλεῖον ἀμαυροῦσι κατά τι, οὔτε ἀφορμὴν ἐκ τούτων εἰς τὸ δύο Υἱούς ὑποτιθέναι παρέχουσιν, πάντων τούτων ἁρμοζόντων τῷ ἑνὶ καὶ συναϊδίῳ Υἱῷ τοῦ Θεοῦ, τῷ ἐν χρόνῳ ἐνανθρωπήσαντι.

η′) *Ἡ ἐπίλυσις τῶν δώδεκα κεφαλαίων ἢ ἀναθεματισμῶν.* — Ἐν τῷ συγγράμματι τούτῳ, ὅπερ, ὡς εἴπομεν, ἀνεγνώσθη ἐν Ἐφέσῳ αἰτήσει τῆς ἁγίας Συνόδου, ὥςπερ καὶ ἐν τοῖς ὑπὲρ τῶν κεφαλαίων τούτων πρός τε τοὺς ἐπισκόπους τῆς Ἀνατολῆς καὶ τὸν Θεοδώρητον ἀπολογητικοῖς, ὑπερασπίζει ὁ ἅγ. Κύριλλος ἄριστα τὰ κεφάλαια αὐτοῦ ταῦτα, ἐν οἷς κατακρίνονται αἱ τοῦ Νεστορίου πλάναι, αἱ ἐξ αὐτῶν αὐτοῦ τῶν συγγραφῶν ἐξαχθεῖσαι. Εἰσὶ δὲ τὰ κεφάλαια ταῦτα οὕτω λογικῶς τεταγμένα, ὥςτε ῥαδίως καθορῶνται ἐν αὐτοῖς αἱ ἀρχαί, ἐφ' ὧν ἀκραδάντως ἐρείδεται ἡ ὀρθόδοξος διδασκαλία, καθ' ἧς ἐκήρυξε τὸν πόλεμον ὁ Νεστόριος. Ἡ ἐν τοῖς κεφαλαίοις τούτοις κυρία θέσις ἐστίν, ὅτι ὁ Ἐμμανουήλ, δι' οὗ ὀνόματος δηλοῦται ὁ ἐνανθρωπήσας Λόγος τοῦ Θεοῦ, ἐστὶν ἀληθῶς Θεός, καὶ ὅτι διὰ τοῦτο ἡ ἁγία Παρθένος ἐστὶ Θεοτόκος. Ἡ ἀλήθεια δὲ αὕτη ἐρείδεται ἐπὶ ἀκραδάντου ἀρχῆς, ἐπὶ τῶν λόγων τοῦ ἁγ. Ἰωάννου τοῦ Εὐαγγελιστοῦ: „ὁ λόγος σὰρξ ἐγένετο (κεφ. α′). Ἐπιπροστίθενται δὲ καὶ δύο ἕτεραι θέσεις ἢ λήμματα, ὅτι ἐν τῷ Ἰησοῦ Χριστῷ ἡνώθησαν καθ' ὑπόστασιν αἱ δύο φύσεις, καὶ ὅτι ὁ Χριστός ἐστιν εἷς καὶ ὁ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*αὐτός, Θεός τε ἅμα καὶ ἄνθρωπος (κεφ. β΄), καὶ ὅτι διὰ τοῦτο οὐ δεῖ διακρίνειν ἐν Αὐτῷ δύο κεχωρισμένα πρόςωπα ἢ ὑποστάσεις (κεφ. γ΄). Ἐντεῦθεν, ἐκ τῆς ἐννοίας περὶ τοῦ ἑνιαίου τοῦ Ἰησοῦ Χριστοῦ καὶ τῆς ὑπ' Αὐτοῦ ἀπολυτρώσεως τοῦ ἀνθρωπίνου γένους, ἐξάγονται τὰ ἑξῆς ἐννέα συμπεράσματα· δηλ. α΄) ὅτι πάσας τὰς ἐν τοῖς εὐαγγελικοῖς καὶ ἀποστολικοῖς συγγράμμασι φωνάς, τάς τε ἀνθρωπίνας, καὶ μὴν καὶ τὰς θεοπρεπεῖς, δεῖ προςάπτειν ἑνὶ προςώπῳ, διότι πιστεύομεν εἶναι καὶ ἕνα Υἱὸν Χριστὸν Ἰησοῦν, τοῦτ' ἔστιν ἐνανθρωπήσαντά τε καὶ σεσαρκωμένον τὸν τοῦ Θεοῦ Λόγον (κεφ. δ΄)· β΄) ὅτι ὁ Χριστός ἐστιν οὐ μόνον ἄνθρωπος Θεοφόρος, ἀλλὰ καὶ μᾶλλον Θεὸς κατ' ἀλήθειαν, καὶ Υἱὸς εἷς φύσει, καθὸ γέγονε σὰρξ ὁ Λόγος, καὶ κεκοινώνηκε παραπλησίως ἡμῖν σαρκὸς καὶ αἵματος (κεφ. ε΄)· γ΄) ὅτι ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος οὐκ ἔστι δεσπότης τοῦ ἐν τῷ Χριστῷ ἀνθρώπου, ἀλλὰ μᾶλλον ὁ αὐτὸς Θεός τε καὶ ἄνθρωπος, ὡς γεγονότος τοῦ Λόγου, κατὰ τὰς Γραφὰς, σαρκός (κεφ. ς΄)· δ΄) ὅτι οὐκ ἔστιν ὀρθὸν τὸ ῥηθέν, ὅτι ἐν τῷ Ἰησοῦ, ὡς ἐν ἀνθρώπῳ, ἐνήργει ὁ Θεὸς Λόγος, καὶ ὅτι περιεβάλετο τὴν δόξαν τοῦ Μονογενοῦς, ὡς ἕτερον πρόςωπον (κεφ. ζ΄)· ε΄) ὅτι δεῖ προςκυνεῖν τὸν Ἰησοῦν Χριστὸν οὐχ ὡς ἄνθρωπον μετὰ τοῦ Θεοῦ Λόγου, ἀλλ' ὡς τὸν μόνον Ἐμμανουήλ (κεφ. η΄)· ς΄) ὅτι οὐκ ἀλλοτρίᾳ δυνάμει, ἀλλ' ἰδίᾳ, ὡς Θεός, ἐπετέλει τὰ θαύματα (θ΄)· ζ΄) ὅτι ἐστὶν ἀληθῶς Ἀρχιερεὺς τῆς ὁμολογίας ἡμῶν, τὴν προςφορὰν οὐχ ὑπὲρ Ἑαυτοῦ, ἀλλ' ὑπὲρ μόνων ἡμῶν προσενεγκών (κεφ. ι΄)· η΄) ὅτι ἡ σὰρξ Αὐτοῦ ἐστι ζωοποιός, διότι ἐστὶν ἰδία αὐτοῦ τοῦ ἐκ Θεοῦ Πατρὸς Λόγου, τοῦ τὰ πάντα ζωοποιεῖν ἰσχύοντος (κεφ. ια΄) καὶ θ΄) τέλος, ὅτι ὁ τοῦ Θεοῦ Λόγος ἔπαθε σαρκί, καὶ ἐσταυρώθη σαρκί, καὶ ἐγεύσατε θανάτου σαρκί, καὶ γέγονε πρωτότοκος ἐκ νεκρῶν, καθὸ ζωή ἐστι, καὶ ζωοποιός, καὶ Θεός (κεφ. ιβ΄).*

*θ΄) Ὁ ἀπολογητικὸς πρὸς τὸν εὐσεβέστατον βασιλέα Θεοδόσιον. — Περὶ τῆς πρὸς συγγραφὴν τοῦ βιβλίου τούτου ἀφορμῆς, ὡς καὶ περὶ τῆς ὑποθέσεως αὐτοῦ, ἐποιησάμεθα ἤδη λόγον ἐν τοῖς ἔμπροσθεν.*

*ι΄) Ἡ κατὰ τῶν Νεστορίου δυςφημιῶν πεντάβιβλος ἀντίρρησις. — Ἐν τοῖς πέντε τούτοις τόμοις ἢ βιβλίοις ἀνασκευάζει θαυμασιώτατα ὁ θεόσοφος Κύριλλος τὰς ἑκάστοτε ὑπὸ τοῦ Νεστορίου ἐν Κωνσταντινουπόλει ἐκφωνηθείσας ὁμι-*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*λίας.*[1]) *Παράγει δὲ κατὰ πρῶτον αὐτοὺς τοὺς λόγους τοῦ Νεστορίου, καὶ ἔπειτα ἀνασκευάζει αὐτοὺς ἢ δι᾽ ἁπλῶν συλλογισμῶν, ἢ διὰ τοῦ κύρους τῶν ἁγίων Γραφῶν, ἢ διὰ μαρτυριῶν προηγησαμένων ἁγίων Πατέρων. Ἐν τῷ πρώτῳ τόμῳ, κατ᾽ ἀρχὰς μὲν ἀναπτύσσει τὴν περὶ τοῦ μυστηρίου τῆς Ἐνανθρωπήσεως ὀρθόδοξον διδασκαλίαν, καταδεικνὺς τὰς ἀντιθέτους αὐτῇ πλάνας τῶν ἀρχαίων αἱρετικῶν, ἔπειτα δ᾽ εἰςέρχεται εἰς αὐτὴν τὴν ὑπόθεσιν, ἀναπτύσσων καὶ ὑπερασπίζων τὸ ὄνομα Θ ε ο τ ό κ ο ν, καὶ ἄριστα τὰς εἰς αὐτὸ ἐνστάσεις τοῦ Νεστορίου ἀνασκευάζων.*[2]) *Ἐν τῷ δευτέρῳ τόμῳ καθάπτεται τοῦ Νεστορίου, τολμήσαντος ὀνομάσαι τὸν Ἰησοῦν Χριστὸν οὐκ ἀληθῆ Θεόν, ἀλλὰ μόνον ἄνθρωπον θεηφόρον, ἄνθρωπον συνδεδεμένον τῷ Θεῷ τῇ αὐτῇ ἡμῖν ἀξίᾳ, καὶ μερίζοντος τέλεον τὰς δύο ἐν Αὐτῷ φύσεις, καὶ ἀπορρίπτοντος τὴν κοινωνίαν τῶν ἰδιωμάτων. Ἐντεῦθεν ἀναπτύσσει ἄριστα ἐπ᾽ ἴσης τὸν τρόπον τῆς κ α θ᾽ ὑ π ό σ τ α σ ι ν ἀληθοῦς ἑνώσεως, ᾗ ὁ Χριστὸς ἰδίως ἐστὶ Θεός, διὰ παντοίων ἀποδείξεων καταπολεμῶν τὴν τοῦ Νεστορίου πλάνην, καθ᾽ ἣν ἐσπούδαζεν οὗτος εἰςαγαγεῖν τὴν ἐξωτερικὴν καὶ σχετικὴν συνάφειαν, τὴν ὁμοίαν, ὡς ἔλεγε, τῇ ἡμετέρᾳ πρὸς τὸν Θεὸν συναφείᾳ. Ἐν τῷ τέλει τοῦ τόμου τούτου λέγει ὁ θεῖος Πατήρ: „Εἰ μὲν οὖν ἄνθρωπον ὀνομάζων οἶσθα μετὰ τούτου καὶ Θεὸν ὄντα κατὰ φύσιν αὐτόν, εὖ ἂν ἔχοι καὶ πεπαύσομαι. Εἰ δὲ μερίζων τὰς φύσεις, οὐχὶ τῷ εἰδέναι μόνον, τίς μὲν ἡ ἀνθρωπεία, τίς δὲ δὴ πάλιν ἡ θεία, διϊστὰς δὲ μᾶλλον τῆς πρὸς ἑνότητα συνδρομῆς, ἀνθρωπολατρεῖς ὁμολογουμένως ...“ — Ἐν δὲ τοῖς ἑπομένοις*

---

1) *Περὶ τοῦ περιέχοντος τὰς ὁμιλίας ταύτας τοῦ Νεστορίου βιβλίου λέγει ἐν τῇ ἀρχῇ τοῦ πρώτου τόμου τάδε: „Καὶ ταῦτά φημι, τινὶ τῶν βιβλίων περιτυχὼν ὑπό του συντεθειμένῳ, καὶ πολλὴν μὲν ἔχοντι τῶν ὁμιλιῶν τὴν ἄθροισιν, στοιχηδὸν δὲ, καὶ ὡς ἐν τάξει κειμένην, ἠμοιρηκότι δὲ κατ᾽ οὐδένα τρόπον τοῦ κατέχεσθαι δεῖν. Καὶ εἰ μὲν εἴρηται τι παρὰ τοῦ συγγεγραφότος, ὃ ταῖς εἰς λήθην ἀποδημίαις ἠφανίζετο, κἂν ᾠήθην δεῖν σιγήν τε ἔχειν αὐτός, καὶ ἑτέροις συμβουλεῦσαι τοῦτο δρᾷν. Ἐπειδὴ δὲ δυςφημιῶν ὄχλος ἐνσεσώρευται τῷ βιβλίῳ, καὶ πολλή τις γέγονεν ἡ κατάρρησις, τῶν τῆς ἀληθείας καθυλακτοῦσα δογμάτων . . .“*

2) *Τὰ περὶ τῆς ὑποθέσεως ταύτης πραγματεύεται καὶ ἐν τῷ λόγῳ: „κατὰ τῶν μὴ βουλομένων ὁμολογεῖν Θεοτόκον τὴν ἁγίαν Παρθένον,“ ἐκδοθέντι ὑπὸ τοῦ Ἀγγέλου Μαΐου ἑλληνιστὶ* in Script. Vet. Nov. Collect. T. VIII. P. II. p. 108—131, *καὶ ἐν τῇ: „Διαλέξει πρὸς Νεστόριον, ὅτι Θεοτόκος ἡ ἁγία Παρθένος, οὐ Χριστοτόκος,“ ἐκδοθείσῃ ὑπὸ τοῦ αὐτοῦ Ἀγγέλου Μαΐου*, ibid. p. 132—135.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*τρισὶ τόμοις ἀνασκευάζει τὴν παρερμηνείαν τῶν χωρίων ἐκείνων τῆς ἁγίας Γραφῆς, ἐν οἷς κατὰ τὸν Νεστόριον, πρὸς τῇ διαιρέσει τῶν δύο φυσεων, ἐδείκνύτο καὶ ἡ διάκρισις τῶν προσώπων ἐν τῷ Ἰησοῦ Χριστῷ· Χωρία δὲ τοιαῦτά εἰσιν ἐκεῖνα, ἐν οἷς ὀνομάζεται ὁ Ἰησοῦς Χριστὸς Ἀπόστολος, Ἀρχιερεύς, ἀπόγονος τοῦ Ἀβραάμ, ἀδελφὸς ἡμῶν ὅμοιος ἡμῖν, ὁμοούσιος ἡμῖν, ὑπὸ τοῦ Πατρὸς ἀποσταλεὶς καὶ ὑπὸ τοῦ ἁγίου Πνεύματος χρισθεὶς, προκόπτων ἐν ἡλικίᾳ καὶ σοφίᾳ καὶ χάριτι (Τ. Γ'). Ἐν τῷ δ' τόμῳ ἀνασκευάζει δύο ἄλλας τοῦ Νεστορίου πλάνας, ὅτι δῆθεν ὁ Ἰησοῦς Χριστὸς ἔλαβε τὴν δύναμιν τοῦ τελεῖν θαύματα καθάπερ καὶ οἱ ἄλλοι ἅγιοι, καὶ ὅτι δῆθεν ἐν τῷ παναγίῳ μυστηρίῳ τῆς Εὐχαριστίας δίδοται τοῖς πιστεύουσι μόνον τὸ σῶμα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Ἀποδείκνυσι δὲ ὁ ἅγ. Κύριλλος τήν τε τῶν τριῶν προσώπων τῆς παναγίας Τριάδος συνεργίαν ἐν τῷ μυστηρίῳ τῆς Ἐνανθρωπήσεως καὶ τὴν πραγματικὴν παρουσίαν τοῦ Θεανθρώπου Ἰησοῦ Χριστοῦ ἐν τῷ μυστηρίῳ τῆς Εὐχαριστίας, διότι ἄλλως ἡ μετάληψις τοῦ τε σώματος καὶ τοῦ αἵματος Αὐτοῦ οὐκ ἂν παρεῖχε τοῖς πιστοῖς τὴν αἰώνιον ζωήν, ὅπερ ἐστὶν ἐναντίον τοῖς λόγοις αὐτῆς τῆς Αὐτοαληθείας, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἐν τῷ ε' τόμῳ πραγματευόμενος τὰ περὶ τῶν πάθῶν καὶ τοῦ θανάτου τοῦ Σωτῆρος, ἀποδείκνυσιν ὅτι, ἐπειδὴ ὁ Θεὸς Λόγος ἀνέλαβε σῶμα ψυχῇ λογικῇ πεπροικισμένον, πάθει καὶ θανάτῳ ὑποκείμενον, ἄνευ τινὸς συμμίξεως τῶν φύσεων ἢ μεταβολῆς τῆς Θεότητος, οὐ δεῖ λέγειν, ὅτι μόνος ὁ ἄνθρωπος ἰδίᾳ παρεδόθη θανάτῳ, ἔπαθεν, ἀπέθανεν, ἀνέστη, καὶ μετὰ τὴν ἀνάστασιν ἐψηλαφήθη ὑπὸ τοῦ Θωμᾶ, ἀλλ' ὅτι ἀνάγκη μᾶλλον ἀναφέρειν ταῦτα πρὸς τὸν Χριστὸν Κύριον, τὸν Θεάνθρωπον.*[1])

*ια') Ὁ διάλογος ὅτι εἷς ὁ Χριστός, τὰς πλάνας ἐπ' ἴσης τοῦ Νεστορίου πραγματευόμενος.* — *Ἐν τῷ ἀξιολογωτάτῳ τούτῳ*

---

1) Fessler Inst. Patr. T. II p. 544—546. — *Περὶ τοῦ συγγράμματος τούτου ἀποφαίνεται ὁ Φώτιος ὧδε: „Ἀνεγνώσθη τοῦ ἐν ἁγίοις Κυρίλλου τοῦ Ἀλεξανδρείας κατὰ τῶν τοῦ Νεστορίου βλασφημιῶν, ἐν λόγοις πέντε. Φυλάττει δέ κἀν τούτοις τῶν οἰκείων λόγον τὸν χαρακτῆρα καὶ τὸ ἰδίωμα, σαφέστερος δὲ ἐστι τοῦ πρὸς Ἑρμείαν καὶ τοῦ περὶ τῆς ἐν πνεύματι λατρείας. Ὁ δὲ λόγος αὐτῷ πεποιημένος καὶ εἰς ἰδιάζουσαν ἰδέαν ἐκβεβιασμένος, καὶ οἷον λελυμένη καὶ τὸ μέτρον ὑπερορῶσα ποίησις.“ Ἀνάγ. μθ'. Ἴδε παὶ Ἀνάγν. ρξθ'.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*συγγράμματι, παριστὰς ἑαυτὸν πρός τινα Ἑρμείαν διαλεγόμενον, δηλοῖ τίνος ἕνεκα ὁ ἀΐδιος Λόγος τοῦ Θεοῦ ἐγένετο ἄνθρωπος, ὅμοιος ἡμῖν, καὶ πῶς, μετὰ τὴν πρὸ πάντων τῶν αἰώνων ἐκ τοῦ Πατρὸς γέννησιν, ἐγεννήθη διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ τῆς ἁγίας Παρθένου Μαρίας, ὀρθῶς καλουμένης ἐντεῦθεν Θεοτόκου, καὶ διὰ τί ὁ ἐνανθρωπήσας Λόγος λέγεται Χριστός. Ἔπειτα, μεταβαίνων εἰς τὴν κυρίαν τοῦ Νεστορίου πλάνην, πραγματεύεται τὰ περὶ τῆς ἑνώσεως τῶν δύο ἐν τῷ Χριστῷ φύσεων.*[1])

*ιβ΄) Οἱ δέκα λόγοι ὑπὲρ τῆς τῶν Χριστιανῶν εὐαγοῦς θρησκείας πρὸς τὰ τοῦ ἐν ἀθέοις Ἰουλιανοῦ. — Ὁ αὐτοκράτωρ Ἰουλιανός, ἀρνησάμενος τὴν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πίστιν, συνέγραψε κατὰ τὴν ἐπὶ Περσίαν ἐκστρατείαν αὐτοῦ, τῇ βοηθείᾳ τοῦ Μαξίμου καὶ ἄλλων φιλοσόφων, συνοδευόντων αὐτῷ, τρία βιβλία κατὰ τῶν ἁγίων Εὐαγγελίων καὶ κατὰ τῆς εὐαγοῦς τῶν Χριστιανῶν θρησκείας. Αἱ ἀρχαὶ τῆς φιλοσοφικῆς σχολῆς, ᾗ ὁ Ἰουλιανὸς ἠκολούθει, ἦσαν παραδεδεγμέναι καὶ ἐν Ἀλεξανδρείᾳ, ἔνθα, ὡς εἴδομεν, ἄκρας ἀπήλαυε δόξης καὶ τιμῆς ἡ περίφημος φιλόσοφος Ὑπατία. Ἰδὼν ὁ ἔνθεος Κύριλλος, ὡς λέγει ἐν τῷ πρὸς τὸν αὐτοκράτορα Θεοδόσιον προσφωνήματι, ὅτι τὰ βιβλία ταῦτα τοῦ ἀντιθέου Ἰουλιανοῦ κατέσεισαν καὶ οὐ μετρίως ἠδίκησαν πολλοὺς τῶν πιστῶν, πρὸς δὲ τούτοις ὅτι πλεῖστοι τῶν δεισιδαιμόνων, περιτυγχάνοντες τοῖς Χριστιανοῖς, κατωνείδιζον αὐτούς, τὰ ἐκείνου συγγράμματα προβαλλόμενοι καὶ τὴν ἐν αὐτοῖς δύναμιν τηλικαύτην εἶναι λέγοντες, ὥστε μηδένα τῶν Χριστιανῶν Διδασκάλων ἀνασκευάσαι αὐτήν ποτε δύνασθαι, καὶ προτραπεὶς ὑπὸ πολλῶν πιστῶν, ἔγνω κατασπάσαι μὲν ἑλληνικὴν ὀφρύν, ἐπαιρομένην κατὰ τῆς τοῦ Χριστοῦ δόξης, ἐπαμῦναι δὲ τοῖς ἠπατημένοις, καὶ ἀποφῆναι πεπλανημένον καὶ ἀνεπιστήμονα τῶν Γραφῶν τὸν τολμήσαντα κατηγορῆσαι τοῦ Θεοῦ καὶ Κυρίου ἡμῶν Ἰησοῦν Χριστοῦ. Ἐκ τῶν διασωθέντων εἰς ἡμᾶς δέκα*[2]) *λόγων δείκνυται ὅτι ὁ θεσπέσιος Διδάσκαλος ἀνεσκεύασε μόνον τὸ*

---

1) Fessler ibid. p. 543—544.

2) *Δέκα μόνον λόγοι ἢ βιβλία διεσώθησαν εἰς ἡμᾶς, ἀλλὰ παρὰ τοῖς ἀρχαίοις ἐκκλησιαστικοῖς συγγραφεῦσιν ἀπαντῶσι τεμάχια ἐκ τῶν ιγ΄., ιδ., ιε΄. ις΄·, ιη΄. καὶ ιθ΄, βιβλίων τοῦ ἁγίου Κυρίλλου κατὰ τοῦ Ἰουλιανοῦ.* Ang. Maii Nov. collect. Vet. Script. T. VII p. 98—108.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*πρῶτον τοῦ Ἰουλιανοῦ βιβλίον, τὰ δὲ δύο ἕτερα, ἅπερ καὶ οὐ διεσώθησαν, ἔμειναν χωρὶς ἀποκρίσεως.*

*Ἐν τῷ α΄ λόγῳ ἀποδείκνυσιν ὁ ἅγιος Κύριλλος, ὅτι ὁ Μωϋσῆς ἐστιν ἀρχαιότερος τῶν ἑλλήνων νομοθετῶν· ὅτι ἡ διδασκαλία τούτου περί τε τῆς ἀρρήτου καὶ ὑπερτάτης οὐσίας καὶ περὶ τῆς τοῦ σώματος πλάσεώς ἐστιν ὀρθὴ καὶ ἀσφαλής· ὅτι οἱ περὶ εὐσεβείας καὶ δικαιοσύνης νόμοι τούτου εἰσὶ θαυμαστοί· καὶ ὅτι περίφημοι ἐν τοῖς ἐθνικοῖς σοφοί, κατὰ πολὺ ὄντες τοῦ Μωϋσέως μεταγενέστεροι, τὰ τούτου μᾶλλον ἐξέκλεψαν καὶ μύθοις ἀνέμιξαν. Ἐν τῷ β΄ παραβάλλει τὴν περὶ δημιουργίας τοῦ κόσμου διήγησιν τοῦ Μωϋσέως πρὸς τὰς παραδόξους δοξασίας τοῦ Πυθαγόρου, τοῦ Θάλεω, καὶ τοῦ Πλάτωνος, ἃς ὁ Ἰουλιανὸς τοσοῦτον ἐθαύμαζεν. Ἐν τῷ γ΄ ὑπερασπίζει θαυμασίως τὴν διήγησιν τῆς ἁγίας Γραφῆς περὶ τοῦ ὑπὸ τοῦ Θεοῦ ὁρισθέντος παραδείσου, περὶ τῆς πλάσεως τῆς γυναικός, περὶ τοῦ λαλήματος τοῦ ὄφεως, περὶ τῆς ὑπὸ τοῦ Θεοῦ ἀπαγορευθείσης τοῖς ἀνθρώποις διαγνώσεως τοῦ καλοῦ καὶ πονηροῦ, καὶ περὶ τῆς ἐκ τοῦ παραδείσου ἀποβολῆς τῶν πρωτοπλάστων. Ὁ Ἰουλιανὸς ἔλεγεν, ἐπειδὴ ὁ ὑπὸ τοῦ Μωϋσέως κηρυττόμενος Θεὸς μόνον τὸ τῶν Ἑβραίων ἔθνος ἐξελέξατο, καὶ αὐτῷ μόνῳ προσεῖχε, καὶ περὶ αὐτοῦ μόνου ἐφρόντιζεν, ἄρα οὐχὶ σύμπαντα τὸν κόσμον ἐδημιούργησεν. Ἀποκρινόμενος καὶ εἰς τοῦτο ὁ ἁγ. Κύριλλος ἀποδείκνυσι τὸν Θεὸν οὐ μόνον δημιουργὸν τοῦ σύμπαντος, ἀλλὰ καὶ προνοητικὸν κυβερνήτην ἁπάντων τῶν ἐθνῶν. — Ἐν τῷ δ΄ ἀπολογεῖται ὑπὲρ τῆς θείας Προνοίας καὶ ποιεῖ φανερόν, ὅτι τὸ διαπιστεῦσαι ὑποκειμένοις θεοῖς τὴν τοῦ κόσμου κυβέρνησιν ἀντίκειται τῇ ὀρθῇ περὶ Θεοῦ ἐννοίᾳ. — Ἐν τῷ ε΄ καταδείκνυσι τὸ ἔξοχον τοῦ νόμου τοῦ Μωϋσέως, ἀνασκευάζων τὰς ἐνστάσεις τοῦ Ἰουλιανοῦ, λέγοντος ὅτι ὁ δεκάλογος τοῦ Μωϋσέως, ἐξαιρέσει τῶν περὶ λατρείας τοῦ ἑνὸς Θεοῦ καὶ τῶν περὶ τοῦ ἑορτασμοῦ τοῦ σαββάτου ἐντολῶν, οὐδὲν λόγου ἄξιον περιέχει, ἁπάντων δὴ τῶν ἐθνῶν τὰς αὐτάς, κατ᾽ αὐτόν, τηρούντων ἐντολάς. Ἀναξία δὲ μάλιστα τοῦ Θεοῦ ἐστιν, ἔλεγεν ὁ παραβάτης, ἡ ἐν τοῖς συγγράμμασι τοῦ Μωϋσέως γνῶσις περὶ Αὐτοῦ, ζηλοτύπου πρὸς τοὺς ἄλλους θεοὺς καὶ λίαν ὀργίλου παρισταμένου ἐν αὐτοῖς. Τὰς ἐνστάσεις ταύτας καταπολεμεῖ ὁ ἁγ. Κύριλλος λέγων ὅτι ὁ Μωϋσῆς πρῶτος ἁπάντων τῶν*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νομοθετῶν ἐξήνεγκε τὰς τοῦ δεκαλόγου ἐντολάς, πληρέστατα συμφωνούσας τῷ φυσικῷ νόμῳ, καὶ ὅτι οὐκ ἐκληπτέον τὴν ζηλοτυπίαν καὶ τὴν ὀργὴν τοῦ Θεοῦ κατὰ τρόπον ἀνθρώπινον. Ἔπειτα ἐπιτίθεται πάνυ σφοδρῶς κατὰ τῆς ἀσεβείας τοῦ παραβάτου, παραβάλλοντος τὸν Δημιουργὸν τοῦ παντὸς πρὸς τὸν Σόλωνα καὶ Λυκοῦργον. ποιεῖ δὲ φανερόν, ὅτι οὐχὶ ἡ γνῶσις τῶν καλῶν τεχνῶν καὶ τῶν ἐπιστημῶν καθίστησι τὸν ἄνθρωπον σοφὸν καὶ εὐδαίμονα, ἀλλὰ τὸ ἐπίστασθαι τὴν ἀλήθειαν, τοῦτ' ἔστι τὸ ἀληθῶς Ὄν, καὶ τὸ ἀσκεῖν τὴν ἀρετήν. — Ἔπειτα (ἐν τῷ ϛ' λόγ.) ἀποδείκνυσιν ὁ θεῖος Διδάσκαλος ὅτι ὅ τε Μωϋσῆς καὶ οἱ ἄλλοι τῆς Π. Δ. ἅγιοί εἰσι πολλῷ ὑπέρτεροι τῶν παρ' Ἕλλησι περικλεεστάτων ἐπὶ σοφίᾳ, οἷον τοῦ Σωκράτους, τοῦ Πλάτωνος, τοῦ Λυκούργου, τοῦ Θάλεω, κλπ. καὶ ὅτι οἱ παρ' αὐτοῖς τε καὶ τοῖς Ῥωμαίοις ἄριστοι βασιλεῖς εἰσι πολλῷ ἥττους τῶν ἐν τῇ ἁγ. Γρ. μνημονευομένων βασιλέων τῶν Ἰουδαίων. Ἀνασκευάζει δ' ὡσαύτως τὴν ἔνστασιν τοῦ Ἰουλιανοῦ, λέγοντος ὅτι ὁ Κύριος ἡμῶν οὐδὲν ἔργον ἄξιον λόγου εἰργάσατο παρ' ὅλον τὸν ἐπὶ τῆς γῆς βίον Αὐτοῦ, καὶ ἀποδείκνυσιν ὅτι ἀδίκως ἐκάλει ὁ ἀποστάτης τοὺς Χριστιανοὺς δυςτυχεῖς, ὡς προςκυνοῦντας τὸ τοῦ σταυροῦ ξύλον, καὶ ὡς ἐγγράφοντας τὴν εἰκόνα αὐτοῦ ἐπί τε τοῦ μετώπου καὶ ἐπὶ τῶν οἰκιῶν. Τὸ σημεῖον τοῦτο, λέγει ὁ ἅγ. Κύριλλος, ἀναμιμνήσκει ἡμᾶς τὸ ξύλον τοῦ σταυροῦ, ἐφ' οὗ ἐτελέσθη ἡ θυσία τῆς ἡμετέρας σωτηρίας. Ἐπειδὴ δὲ ὁ Ἰουλιανὸς ἔλεγεν, ὅτι τὰ αὐτοφυῆ χρηστήρια, ταῖς τῶν χρόνων εἴκοντα περιόδοις, ἐσίγησαν, ὁ μέγας τῆς ἀληθείας ὑπέρμαχος καταδείκνυσιν, ὅτι τοῦτο ἐγένετο μετὰ τὸ ἐπιλάμψαι τῷ κόσμῳ τὸν Ἰησοῦν Χριστόν, ὅτε „κατεδονήθη πᾶσα ἡ τυραννὶς τῶν δαιμόνων, καὶ οἷα τις σκηνὴ μειρακιωδῶν ἀθυρμάτων ἔμπλεως ἡ ἀπάτη λέλυται“. Διὰ τὸν αὐτὸν λόγον, λέγει, καὶ παρ' αὐτοῖς τοῖς Ἑβραίοις ἐκλέλοιπε τὸ προφητικὸν πνεῦμα, διότι τέλος νόμου καὶ προφητῶν γέγονεν ὁ Χριστός. „Ἠρέμησε μέν, λέγει ἐν τέλει, τῆς ἀρχαίας προφητείας ἡ χάρις· ἐνηχεῖ δὲ νῦν τοῖς ἀξίοις Θεὸς κατὰ τὸ αὐτῷ δοκοῦν τὰ ἑπόμενα, καὶ ψυχαῖς ὁσίαις ἐναυλίζεται.“ Τὴν κατὰ τῶν Χριστιανῶν κατηγορίαν, ὅτι εἰσὶν ἥττονες ὀργῆς, καὶ φονεύουσιν ἀδίκως, ἀνασκευάζει λέγων, ὅτι ἐξ αὐτῶν δὴ τῶν πραγμάτων καταφαίνεται τοὐναντίον, τῶν ἐθνικῶν ἀποκτεινάντων τοὺς μάρτυρας, οὐχ ὡς διαπράξαντάς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τι παράνομον, ἀλλ' ὡς τὸν Θεὸν αὐτῶν ἀγαπήσαντας καὶ ἀκραιφνῆ τὴν πρὸς Αὐτὸν πίστιν τηρήσαντας. Εἰς τὴν ἐρώτησιν τοῦ Ἰουλιανοῦ: διὰ τί οἱ Χριστιανοὶ ηὐτομόλησαν πρὸς τοὺς Ἰουδαίους, καὶ ἠχαρίστησαν τοῖς θεοῖς τῶν ἐθνικῶν, ἀποκρίνεται, ὅτι τοῦτο προείλοντο, εὑρόντες παρὰ τοῖς Ἰουδαίοις, ἤγουν παρὰ τῇ θεοπνεύστῳ Γραφῇ, τὴν ἀληθῆ καὶ δέουσαν περὶ τοῦ Θεοῦ ἰδέαν, παιδαγωγίαν εὐθὺ πρὸς πᾶν ἀγαθὸν τὸν φιλάρετον ἄγουσαν, παρακλήσεις ἁγίων εἰς ἐγκράτειαν προτρεπούσας, ὑποσχέσεις γερῶν, ἀληθῆ τῆς εἰς αἰῶνας ζωῆς ἐλπίδα, ἄφεσιν ἁμαρτιῶν, θείου πνεύματος χορηγίαν, καὶ υἱοθεσίας χάριν. Εἰς τὴν ἔνστασιν τοῦ Ἰουλιανοῦ, ὅτι πρῶτος ὁ Εὐαγγελιστὴς Ἰωάννης ἐποιήσατο λόγον περὶ τῆς Θεότητος τοῦ Ἰησοῦ Χριστοῦ, ἀποκρίνεται, ὅτι ὁ Παῦλος, τὸν ἐξ Ἰουδαίων κατὰ σάρκα Χριστόν, καὶ ἐπὶ πάντας ὀνομάζει Θεόν, καὶ λέγει εὐλογητὸν εἶναι εἰς τοὺς αἰῶνας· ὅτι οἱ μαθηταί, ὁρῶντες Αὐτὸν ἰόντα ἐπ' αὐτῆς θαλάσσης, ἐποιοῦντο ἐνώμοτον τὴν ὁμολογίαν, λέγοντες Αὐτῷ: „Ἀληθῶς Θεοῦ Υἱὸς εἶ"· καὶ ὅτι πολλαχοῦ τῶν κατὰ Ματθαῖον καὶ Μάρκον καὶ Λουκᾶν εὐαγγελίων λέγεται Θεός.

Ἐπειδὴ δὲ ὁ Ἰουλιανός, βουλόμενος ἀποφῆναι τοὺς τῶν ἐθνικῶν θεοὺς ὑπερτέρους τοῦ τῶν Ἑβραίων Θεοῦ, ἔλεγεν ὅτι οὗτοι (οἱ Ἑβραῖοι) οὔτε στρατηγοὺς ἔσχον ἐφαμίλλους πρὸς τὸν Ἀλέξανδρον καὶ τὸν Καίσαρα, οὔτε τὰς καλὰς τέχνας καὶ ἐπιστήμας, ὥςπερ οἱ Ἕλληνες, ἐπετήδευσαν, ἀποδείκνυσιν ὁ θεσπέσιος Διδάσκαλος (ἐν τῷ ζ' λόγῳ) ἡλίκη ἐστὶν ἡ μεταξὺ τῆς γηΐνης ἀρχῆς καὶ τῆς ἀληθοῦς εὐσεβείας, ὥςπερ καὶ ἡ μεταξὺ τῶν ἀνθρωπίνων ἐπιστημῶν καὶ τῆς θείας ἀληθείας διάστασις. Ἔπειτα, ἀνασκευάζων ἑτέραν συκοφαντίαν τοῦ Ἰουλιανοῦ, λέγοντος ὅτι οἱ Χριστιανοὶ εἰργάσαντο παρυφὴν κακῶν, λαβόντες παρά τε τῶν Ἰουδαίων καὶ τῶν ἐθνικῶν οὔ τι τὸ κάλλιστον, ἀλλὰ τὸ χεῖρον, παρὰ μὲν τῶν πρώτων τὸ βλασφημεῖν τιμωμένους θεούς, παρὰ δὲ τῶν δευτέρων τὸ πάντα ἐσθίειν, ὡς λάχανα χόρτου, λέγει ὅτι, ἐπειδὴ ἐκ τῆς θεοπνεύστου Γραφῆς ἐποδηγήθησαν εἰς τὴν εἰς Χριστὸν πίστιν, ὅς ἐστι τὸ τέλος τοῦ νόμου καὶ τῶν προφητῶν, τιμῶσι αὐτόν τε (τὸν νόμον), καὶ αὐτούς (τοὺς προφήτας). Ὡς πρὸς τὰς τροφάς, λέγει ὅτι οἱ Χριστιανοὶ οὐ γιγνώσκουσιν ἀκαθάρτους, ἀλλ' οὐδὲ καταφρονοῦσι τῆς τῶν τροφῶν ἀπολαύσεως εἴ τινες, μείζονος τελειότητος ἐφιέμενοι, ἀπέχονται καὶ τῶν χρειωδεστά-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

των τῆς ζωῆς. Τέλος ἀποδείκνυσι πόσον ψευδῆ εἰσι τὰ ὑπο τοῦ Ἰουλιανοῦ ἐπιρριπτόμενα τοῖς Χριστιανοῖς ὀνειδίσματα, καὶ μετὰ ταῦτα ἀναπτύσσει ὡς ἄριστα τὴν δύναμιν τοῦ βαπτίσματος. — Ἐν τῷ η' λόγῳ ἀνασκευάζει τὸν Ἰουλιανόν, λέγοντα ὅτι οἱ Χριστιανοὶ διαφωνοῦσι πρὸς τὸν Μωϋσέα κατά τε ἄλλα σπουδαιότατα καὶ μάλιστα κατὰ τὸ συμπροςκυνεῖν τῷ Ὑψίστῳ Θεῷ τὸν Χριστόν, περὶ οὗ οὐδὲν σαφὲς δῆθεν ἐν τοῖς Μωϋσεως βιβλίοις ἐμπεριέχεται. Πρὸς τελείαν τῆς ἐνστάσεως ταύτης ἀνασκευὴν πραγματεύεται ὁ θεῖος Κύριλλος τὸ τῆς ἁγίας Τριάδος μυστήριον, καὶ τὴν τοῦ Υἱοῦ τοῦ Θεοῦ ἐνανθρώπησιν, προρρηθεῖσαν ὑπό τε τοῦ Μωϋσέως καὶ τῶν ἄλλων Προφητῶν. — Ἐν τῷ θ' λόγῳ παράγει πολλὰ χωρία ἐκ τῶν τοῦ Μωϋσέως βιβλίων, ἔνθα ὁ Χριστὸς λέγεται, ὁτὲ μὲν Λόγος, ὁτὲ δὲ Κύριος. Τούτοις ἐπιπροστίθησι πολλὰ ἄλλα τῆς Π. καὶ Κ. Δ. χωρία, τὴν ὕπαρξιν ἀποδεικνύντα καὶ τὴν Θεότητα τοῦ Μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ. Ἀποδείκνυσιν ὅτι τὸ ῥηθὲν περὶ τοῦ ἀποπομπαίου τράγου καὶ τοῦ θυομένου περὶ τῆς τοῦ λαοῦ ἁμαρτίας, οὐδὲν ἄλλο ἦν, ἢ τύπος, πληρωθεὶς ἐν τῷ Ἰησοῦ Χριστῷ, Ὅς ἐστι τὸ ἄμωμον θῦμα, τὸ ἀβέβηλον ἱερεῖον, οὗ ὑπὲρ ἡμῶν κατὰ σάρκα θανόντος, ἡμεῖς ἀποπομπαῖοι γεγόναμεν, τοῦτ' ἔστι τῆς φθορᾶς τοῦ θανάτου ἀπεφοιτήσαμεν. Οὐχὶ ἐκ περιφρονήσεως, λέγει, τοῦ Μωσαϊκοῦ νόμου γεύονται οἱ Χριστιανοὶ ζώων τινῶν, ὧν ἡ ἀπόλαυσις ὑπὸ τούτου ἀπαγορεύεται, οὐδὲ διὰ τὸν αὐτὸν λόγον ἀρνοῦνται προσφέρειν τὸ αἷμα τῶν ζώων καὶ τὸ λῖπος τῶν θυμάτων, ὡς ἐποίουν οἱ Ἰουδαῖοι, ἀλλά, διδαχθέντες ὅτι ὁ νόμος οὗτος ἦν τυπικός, ἐπαύσαντο τοιαύτας θυσίας προσφέρειν, εἰδότες ὅτι τῇ τοῦ Θεοῦ βουλῇ συνᾴδει μόνη ἡ ἐν πνεύματι καὶ ἀληθείᾳ προςκύνησις. Ἐπὶ πλέον δὲ λέγει ὅτι ὁ αὐτὸς αἰώνιος νόμος πάλαι μὲν ἦν, παρὰ τοῖς Ἰουδαίοις, αἰνιγματώδης, νῦν δέ, παρὰ τοῖς Χριστιανοῖς, ἐστὶ νοητὸς ἐν πνεύματι καὶ ἀληθείᾳ. „Καὶ καιρὸς μέν, λέγει, τοῖς αἰνίγμασι πρέπων ὁ πρὸ τῆς τοῦ Σωτῆρος ἐπιδημίας· τοῖς γέ μὴν ἀληθεστέροις, ὁ μετ' ἐκεῖνον εἰςβεβηκώς, καθ' ὃν ἐπέλαμψεν ἡ ἀλήθεια.“ — Ἐν τῷ ι' λόγῳ καταπολεμεῖ τὴν δοξασίαν τοῦ Ἰουλιανοῦ, τὴν καὶ ἄλλοθι ἐξενεχθεῖσαν, ὅτι δηλ. οὔτε ὁ Παῦλος, οὔτε ὁ Ματθαῖος, οὔτε ὁ Μάρκος, οὔτε ὁ Λουκᾶς, οὔτε ὁ Ἰωάννης ὠνόμασαν τὸν Ἰησοῦν Χριστὸν Θεόν. Τὰς ἐπιρριπτομένας ὑπὸ τοῦ δυςσεβοῦς τοῖς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Χριστιανοῖς μομφὰς ὅτι τιμῶσι τοὺς μάρτυρας, καὶ ἐγείρουσιν αὐτοῖς τάφους, ἀνασκευάζει ὁ θεῖος Πατήρ, θαυμασίως τὴν ἀποδιδομένην τοῖς ἁγίοις τιμὴν ὑπερασπιζόμενος, καὶ δεικνὺς ὅτι αὕτη, δεισιδαιμονίας οὖσα ἀμέτοχος, οὐδαμῶς τῷ θείῳ νόμῳ ἀντίκειται· Μετὰ τοῦτο ἐξελέγχει ἑτέραν τοῦ Ἰουλιανοῦ πλάνην, λέγοντος ὅτι, παραλείποντες οἱ Χριστιανοὶ τάς τε θυσίας καὶ τὴν περιτομὴν καὶ τὰς ἄλλας τελετάς, τὰς ὑπὸ τοῦ Μωσαϊκοῦ νόμου ὁριζομένας, ἀντιφάσκουσι τῷ Ἰησοῦ Χριστῷ, τῷ εἰπόντι, ὅτι οὐκ ἦλθε καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι. Ἀναιρεῖ δὲ τὴν πλάνην ταύτην ὀρθῶς ἀναπτύσσων τὴν ὀρθὴν τῶν λόγων τούτων τοῦ Σωτῆρος ἔννοιαν. Ἐπὶ τέλους καταπολεμεῖ τὴν γνώμην τοῦ Ἰουλιανοῦ, ὅτι δῆθεν ἠκολούθει τῇ πίστει τοῦ Ἀβραάμ, ἀποδεικνὺς ὅτι πάντη ἄτοπον τὸ παραβάλλειν τὴν δεισιδαιμονίαν αὐτοῦ πρὸς τὴν πίστιν τοῦ πατριάρχου Ἀβραάμ.*

*Ἡ σπουδαιότης καὶ χρησιμότης τοῦ συγγράμματος τούτου τοῦ θεσπεσίου Κυρίλλου, ὥςπερ καὶ ἡ τιμή, ἧς ἠξιώθη παρὰ τῶν συγχρόνων, καταδείκνυται ἔτι ἐκ τούτου, ὅτι μόλις ἀναγνοὺς αὐτὸ ὁ μακάριος Θεοδώρητος, ἔσπευσε διαλλαγῆναι τελείως πρὸς τὸν συγγραφέα, οὗ ἀνωμολόγει μὲν ἀεὶ τὸ ὀρθόδοξον, τὴν δὲ κατὰ Νεστορίου καταδίκην ὑπογράψαι τέως οὐκ ἤθελεν. Ἐνταῦθεν γράφει ὁ Θεοδώρητος πρὸς Διόσκορον τὸν Ἀλεξανδρείας*[1]. *„Ἡνίκα δὲ τὰ κατὰ Ἰουλιανοῦ συγγράμματα εἰς τὴν Ἀντιόχειαν ἐκπέπομφε (Κύριλλος), καὶ . . . τὸν μακάριον ᾔτησεν Ἰωάννην τὸν τῆς Ἀντιοχέων ἐπίσκοπον ἐπιδεῖξαι ταῦτα τοῖς κατὰ τὴν ἑῴαν διαπρέπουσι διδασκάλοις, καὶ δὴ τοῖς γράμμασιν εἴξας ὁ μακάριος Ἰωάννης πέπομφεν ἡμῖν τὰς βίβλους, καὶ ἀναγνόντες ἐθαυμάσαμεν, καὶ ἐπεστείλαμεν τῷ τῆς μακαρίας μνήμης Κυρίλλῳ, καὶ ἀντέγραψε πάλιν ἡμῖν . . .“*

*ιγ´) Τὸ βιβλίον κατὰ ἀνθρωπομορφιτῶν. — Τοῦ βιβλίου τούτου προηγεῖται ἐπιστολὴ τοῦ ἁγίου Κυρίλλου πρὸς Καλοσύριον, ἐπίσκοπον Ἀρσινόης. Διὰ τῆς ἐπιστολῆς ταύτης ἀνασκευάζει τὴν πλάνην μοναχῶν τινων τῆς Αἰγύπτου, ἐκ σκαιᾶς ἀμαθείας παριστάντων ἑαυτοῖς τὸν Θεὸν ἐν ἀνθρωπίνῃ μορφῇ, ἀποδεικνύς, ὅτι ὁ ἄνθρωπος ἐπλάσθη μὲν ὄντως κατ᾽ εἰκόνα Θεοῦ, ἀλλὰ τοῦτο οὐκ ἀναφέρεται πρὸς τὸ ἀνθρώπινον σῶμα,*

---

1) *ἐπ. πγ´.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

διότι ὁ Θεός ἐστι πνεῦμα ἀσώματον. „Τὸ δὲ κατ' εἰκόνα Θεοῦ, λέγει, τὸν ἄνθρωπον πεποιῆσθαι, ἑτέρας ἐμφάσεις καὶ ὑπονοίας ἔχει· μόνος γὰρ αὐτὸς παρὰ πάντα τὰ ἐπὶ τῆς γῆς ζῶα λογικός ἐστι, φιλοικτείρμων, ἐπιτηδειότητα πρὸς πᾶσαν ἔχων ἀρετὴν … οὐκοῦν κατὰ τὸ ζῶον εἶναι λογικὸν, καὶ καθὸ φιλάρετον, καὶ τῶν ἐπὶ γῆς ἀρχικόν, ἐν εἰκόνι λέγεται πεποιῆσθαι Θεοῦ.“ Ἐν τῇ αὐτῇ ἐπιστολῇ λέγει περὶ τοῦ ἁγιωτάτου μυστηρίου τῆς εὐχαριστίας τάδε: „Ἀκούω δὲ ὅτι εἰς ἁγιασμὸν ἀπρακτεῖν φασι τὴν μυστικὴν εὐλογίαν, εἰ ἀπομένοι λείψανον αὐτῆς εἰς ἑτέραν ἡμέραν. Μαίνονται δὲ ταῦτα λέγοντες· οὐ γὰρ ἀλλοιοῦται Χριστός, οὐδὲ τὸ ἅγιον αὐτοῦ σῶμα μεταβληθήσεται, ἀλλ' ἡ τῆς εὐλογίας δύναμις, καὶ ἡ ζωοποιὸς χάρις διηνεκής ἐστιν ἐν αὐτῷ.“ Ἡ ἐπιστολὴ δ' αὕτη οὐκ ἔστιν ἀδιάρρηκτος τρόπον τινὰ σύνδεσμος αὐτοῦ τοῦ βιβλίου, γραφέντος Τιβερίῳ τινὶ διακόνῳ[1]), ἐπιζητήσαντι ἐπιλύσεις δογματικῶν ζητημάτων. Τὰ πρῶτα μόνα τῶν ἐξ ὧν σύγκειται τὸ βιβλίον εἴκοσι καὶ ἑπτὰ κεφαλαίων πραγματεύονται τὴν ἐν τῷ ἀνθρώπῳ εἰκόνα τοῦ Θεοῦ, τὰ δ' ἄλλα, τὸ μυστήριον τῆς θείας Ἐνανθρωπήσεως, τὴν παντοδυναμίαν τοῦ Θεοῦ, τὴν κατάστασιν τοῦ ἀνθρώπου ἐν τῇ αἰωνίῳ ζωῇ, καὶ τὴν ἀνάστασιν τοῦ σώματος. Τὸ δὲ τέλος τοῦ βιβλίου τούτου ἐστὶ παραπλήσιον τῷ εἰς τὴν Γέννησιν τοῦ Χριστοῦ λόγῳ τοῦ ἁγ. Γρηγορίου τοῦ Νύσσης.

Τινὰ τῶν δογματικῶν συγγραμμάτων τοῦ ἁγίου Κυρίλλου διεσώθησαν εἰς ἡμᾶς κατὰ μικρὰ μόνον τεμάχια. Τοιαῦτα δ' εἰσί:

α') τὰ τρία βιβλία κατὰ Διοδώρου τοῦ Ταρσοῦ καὶ Θεοδώρου τοῦ Μοψουεστίας, καὶ ἕτερον περὶ Ἐνανθρωπήσεως.[2])

β') τὸ βιβλίον κατὰ συνουσιαστῶν (τῶν Ἀπολιναριστῶν.[3])

---

1) Τὸ κατ' Ἀνθρωπομορφιτῶν βιβλίον ἐπιγράφεται ἐν πλείστοις ἀρχαίοις ἀπογράφοις ὧδε: „Ἐπιλύσεις δογματικῶν ζητημάτων Κυρίλλου, ἐπιζητηθέντων παρὰ Τιβερίου διακόνου καὶ τῆς ἀδελφότητος,“ ἢ βραχύτερον: „Κυρίλλου πρὸς Τιβέριον“, Coteler. Monumenta Eccles. Graecae T. III p. 557. Διονύσιος ὁ Πετάβιος ἐκφέρει περὶ τοῦ βιβλίου τούτου τήνδε τὴν γνώμην: „Non puto Cyrilli hunc esse librum, sed centonem quemdam ex diversis fragmentis disparis argumenti consarcinatum.“ Dogm. Theolog. De Incarnat. lib. IV. c. 9. n. 14.

2) Κυρ. ἐπιστ. ξθ'. Liberati diaconi Breviar. caus. Nestor. et Eutych c. 10. Τὰ τεμάχια ταῦτα διεσώθησαν μόνον λατινιστί.

3) Ἴδε Εὐφραιμ. Ἀντιοχ. παρὰ Φωτ. ἀνάγν. 229. σελ. 416



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γ') ὁ λόγος περὶ πίστεως, ἢ προςφωνητικὸς πρὸς Ἀλεξανδρεῖς.[1])

δ') ὁ λόγος πρὸς τοὺς τολμῶντας λέγειν μὴ δεῖν ὑπὲρ τῶν ἐν πίστει κεκοιμημένων προσφέρειν.[2])

ε') ἡ ἐπιστολὴ πρὸς τοὺς ἐν Φουᾶ μοναχοὺς κατὰ τῶν Ὠριγένους πλανῶν ὑπὲρ τῆς ἀναστάσεως τοῦ σώματος καὶ κατὰ τῆς προϋπάρξεως τῶν ψυχῶν.[3])

στ') ἡ ἐπιστολὴ πρὸς Θεοδόσιον τὸν αὐτοκράτορα κατὰ Κελεστιανῶν (Πελαγιανῶν).

ζ') ὁ λόγος κατὰ Ἀρείου.[4])

η') τὸ βιβλίον περὶ πτώσεως τῆς συναγωγῆς.[5])

θ') ὁ λόγος περὶ ἀπαθείας καὶ πάθους.[6])

Τῶν τριῶν τελευταίων τούτων συγγραμμάτων εἰσὶ γνωσταὶ μόνον αἱ ἐπιγραφαί.

Εἰς τὰ ἑρμηνευτικὰ[7]) συγγράμματα τοῦ ἁγίου Κυρίλλου ἀνάγονται τάδε:

α') ἡ βίβλος περὶ τῆς ἐν πνεύματι καὶ ἀληθείᾳ προςκυνήσεως καὶ λατρείας. Ἡ βίβλος αὕτη ἐγράφη ἐν εἴδει διαλόγου πρὸς Παλλάδιόν τινα· ἐπεγράφη δὲ οὕτω, διότι ἐν αὐτῇ προὔθετο ὁ ἅγιος Κύριλλος λῦσαι τὸ ζήτημα: τί δηλοῦσιν οἱ λόγοι τοῦ Ἰησοῦ Χριστοῦ: „οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι“ (Ματθ. ε' 7), καί: „πνεῦμα

---

1) Gennad. de script. eccles. c. 57. Cassin. adv. trag. Iren. c. 217 (Mansi T. V. col. 1008) Εὐφρ. Ἀντιοχ. παρὰ Φωτ. ἀνάγν. 229. Λεοντ. Βυζ. κατὰ Νεστ. καὶ Εὐτυχ. βιβλ. α'. καὶ βιβλ. κατὰ Μονοφυσ. Ἀναστ. Σιναΐτ. Ὁδηγ. κεφ. 10. Δαμασκ. κατὰ Ἰακώβ.

2) Τοῦ λόγου τούτου παράγει τεμάχια Εὐστράτιος ὁ πρεσβύτερος Κωνσταντινουπόλεως (τῷ 578) παρὰ Φωτ. ἀνάγν. 171. σελ. 198—199· παρὰ Λέοντι τῷ Ἀλλατίῳ de utriusque Ecclesiae Occidentalis atque Orientalis perpetua in dogmate et purgatorio consensione, Romae 1655. in 8°. p. 571—578.

3) Λόγ. τοῦ αὐτοκρ. Ἰουστιανοῦ κατὰ Ὠριγέν. Mansi T. IX, coll. 511—512.

4) Φώτ. ἀνάγν. 54.

5) Φώτ. ἀνάγν. 229.

6) Gennad. c. 57 de Script. eccles. Φώτ. ἀνάγν. 229. σελ. 429—430.

7) Ὁ Κασσιόδωρος (Praefat. libr. de institut. divinar. literar.) καὶ Νικηφόρος ὁ Κάλλιστος (ἐκκλ. ἱστορ. ιδ', 14) λέγουσιν, ὅτι ὁ Κύριλλος ἡρμήνευσεν ἅπασαν τὴν ἁγίαν Γραφήν, ἀλλ', ἀτυχῶς, τινὰ μόνον τῶν συγγραμμάτων αὐτοῦ τούτων ἐσώθησαν ἀκέραια, τινὰ δὲ ἐν τεμαχίοις.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁ Θεός· καὶ τοὺς προςκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προςκυνεῖν" (Ἰωάν. δ' 24), ἐν ᾧ, ὡς γνωστόν, ὁ ἀρχαῖος τελετουργικὸς νόμος ἀντικατεστάθη ὑπὸ τῆς Καινῆς Διαθήκης. Τὸ σύγγραμμα τοῦτο συνίσταται ἐκ δέκα καὶ ἑπὰ λόγων. Ἑκάστου δὲ τούτων ἡ ἔννοια, κατὰ τὸν προτασσόμενον πίνακα, ἐστὶν ἥδε: Λόγ. α'. Περὶ τῆς εἰς φαυλότητα τοῦ ἀνθρώπου παρατροπῆς καὶ αἰχμαλωσίας τῆς εἰς ἁμαρτίαν· καὶ ὁμοῦ περὶ κλήσεως καὶ ἐπιστροφῆς τῆς κατὰ μετάγνωσιν, καὶ τῆς εἰς τὸ ἄμεινον ἀναδρομῆς. Λόγ. β'. Ὅτι ἀμήχανον διαφυγεῖν τὸν ἐξ ἁμαρτίας θάνατον καὶ τὴν τοῦ διαβόλου πλεονεξίαν, εἰ μὴ δι' ἁγιασμοῦ τοῦ κατὰ Χριστόν. Καὶ ὅτι οὐκ ἐν νόμῳ ἡ δικαίωσις, ἀλλ' ἐν Χριστῷ. Λόγ. γ'. Περὶ τοῦ αὐτοῦ. Λόγ. δ'. Ὅτι τὸν κεκλημένον εἰς δικαίωσιν παρὰ Θεοῦ, καὶ λελυτρωμένον, Αὐτῷ κατακολουθεῖν χρή, καὶ παραιτεῖσθαι μὲν τὸν εἰς φαυλότητα μαλακισμόν, ζῆν δὲ μᾶλλον ἐπείγεσθαι συννόμως καὶ νεανικῶς. Λόγ. ε'. Ἔτι περὶ ἀνδρίας τῆς ἐν Χριστῷ. Λόγ. ς'. Ὅτι χρὴ Θεῷ τῷ κατὰ φύσιν ἡμᾶς προςκεῖσθαι μόνῳ, καὶ ἀγαπᾶν αὐτὸν ἐξ ὅλης ψυχῆς καὶ καρδίας. Λόγ. ζ'. Περὶ τῆς εἰς ἀδελφοὺς ἀγάπης. Λόγ. η'. Ἔτι περὶ ἀγάπης τῆς εἰς ἀδελφούς, καὶ κατὰ τοῦ κλέπτοντος μόσχον, ἢ πρόβατον. Λόγ. θ'. Περὶ τῆς ἐν πνεύματι καὶ ἀληθείᾳ προςκυνήσεως, καὶ περὶ τῆς ἁγίας σκηνῆς, ὅτι τύπος ἦν τῆς ἐν Χριστῷ Ἐκκλησίας. Λόγ. ι'. Περὶ τῶν ἐν τῇ ἁγίᾳ σκηνῇ. Λόγ. ια'. Περὶ ἱερωσύνης, καὶ ὅτι τύπος ἦν ἡ κατὰ νόμον τῆς ἐν Χριστῷ. Λόγ. ιβ'. Περὶ ἱερωσύνης. Λόγ. ιγ'. Ἔτι περὶ ἱερωσύνης. Λόγ. ιδ'. Ὅτι χρὴ τοὺς φοιτᾶν ἐθέλοντας ἐν ἐκκλησίαις καθαροὺς καὶ ἐκνενιμμένους εἶναι τὴν ἐξ ἁμαρτίας κηλῖδα, καὶ οὕτω παρίστασθαι τῷ Θεῷ. Λογ. ιε'. Ὅτι χρὴ καθαροὺς καὶ ἐκνενιμμένους τὴν ἁμαρτίαν παρίστασθαι τῷ Θεῷ. Καὶ ὅτι ἐν Χριστῷ πάλιν ἡμῖν ἡ κάθαρσις. Κογ. ις'. Ὅτι χρὴ προςάγειν ἡμᾶς θυσίας πνευματικὰς καὶ δωροφορίας Θεῷ. Λόγ. ιζ'. Περὶ ἑορτῶν ἁγίων.[1])

β) Τὰ Γλαφυρά. — Τὸ σύγγραμμα τοῦτό ἐστιν ἠθικὴ ἢ ἀλληγορικὴ ἑρμηνεία ἐκλεκτῶν τινων χωρίων τῆς Πεντατεύχου, καὶ χρησιμεύει οἱονεὶ ὡς συμπλήρωσις τῆς βίβλου

1) Τῶν βιβλίων τούτων γίνεται συχνὴ μνεία παρὰ τοῖς ἀρχαίοις. ἐκκλησιαστικοῖς. Ἴδε Fessler Inst. Patrol. T. II p. 558—559.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

περὶ τῆς ἐν πνεύματι καὶ ἀληθείᾳ προςκυνήσεως καὶ λατρείας. Ἐν αὐτῷ ἀναπτύσσεται κυρίως καὶ διασαφεῖται ἡ ἔννοια, ὅτι ἐν τοῖς συγγράμμασι τοῦ Μωϋσέως προεξεικονίσθη τό τε μυστήριον τῆς ἐλεύσεως τοῦ Ἰησοῦ Χριστοῦ καὶ ἡ Ἐκκλησία Αὐτοῦ. Ἐν αὐτῷ ἀκολουθεῖ ὁ ἅγ. Κύριλλος μᾶλλον τῇ τάξει τῆς διηγήσεως τοῦ Μωϋσέως, ἀρχόμενος ἀπὸ τῆς ἱστορίας τοῦ Ἀδὰμ καὶ χωρῶν μέχρι τοῦ Ἰησοῦ τοῦ Ναυῆ· ἑρμηνεύει δὲ κατ' ἐξοχὴν ἐκεῖνα τὰ χωρία, ὅσα οὐχ ἡρμήνευσε πρότερον ἐν τῇ μνημονευθείσῃ βίβλῳ περὶ τῆς ἐν πνεύματι καὶ ἀληθείᾳ προςκυνήσεως καὶ λατρείας.[1])

γ') Ἡ ὑπομνηματικὴ ἐξήγησις εἰς τὸν προφήτην Ἡσαΐαν. — Ἡ ἐξήγησις αὕτη διαιρεῖται εἰς πέντε βιβλία, ὧν τὸ πρῶτον περιέχει ἓξ λόγους, τὸ δεύτερον πέντε, τὸ τρίτον ἐπ' ἴσης πέντε, τὸ τέταρτον ἐπ' ἴσης πέντε, καὶ τὸ πέμπτον ἕξ. Ἐν ταύτῃ ἀκολουθεῖ ὁ ἅγιος Κύριλλος μεθόδῳ διαφόρῳ ἐκείνης, ἥπερ ἐν τοῖς δυσὶ προμνημονευθεῖσι συγγράμμασιν ἠκολούθησεν· ἑρμηνεύει δηλ. τὴν προφητείαν, τὸ μὲν πρῶτον κατὰ γράμμα, ἔπειτα δὲ ἀλληγορικῶς ἢ ἠθικῶς. „Χρῆναι δέ φημι (λέγει ἐν τῷ προοιμίῳ) τοὺς ἐθέλοντας διατρανοῦν τὰ οὕτως ἰσχνὰ καὶ αἰνιγματώδη τῶν θεωρημάτων διανοίας ὄμματι περιαθρεῖν ἐπείγεσθαι, καὶ μάλα εὐφροσύνως, τοῦτο μέν, τῆς ἱστορίας τὸ ἀκριβές, τοῦτο δέ, τῆς πνευματικῆς θεωρίας τὴν ἀπόδοσιν, ἵνα πανταχόθεν τοῖς ἐντευξομένοις ἐκβαίῃ τὸ ὠφελοῦν, καὶ ἡ τῆς τῶν προκειμένων ἐννοίας διασάφησις οὐδὲν ἔχουσα τὸ ἐνδεὲς διαφαίνοιτο.“ Δηλοῖ δὲ ὅτι ὁ προφήτης Ἡσαΐας διαμέμνηται πανταχοῦ τῆς διὰ τοῦ Ἰησοῦ Χριστοῦ λυτρώσεως, καὶ ὅτι προαγγέλλει ἔσεσθαι μὲν τὸν Ἰσραὴλ ἀπόπεμπτον τῆς πρὸς Θεὸν οἰκειότητος, εἰς δεχθήσεσθαι δὲ τῶν ἐθνῶν τὴν πληθύν, δικαιουμένην διὰ τῆς πίστεως τῆς ἐν Χριστῷ.[2])

δ') Ἡ ὑπομνηματικὴ ἐξήγησις εἰς τοὺς δώδεκα ἐλάσσονας προφήτας. — Καὶ ἐν τῇ ἐξηγήσει ταύτῃ ἐνδια-

---

1) Ἡ ἑρμηνεία αὕτη, εἰς 13 λόγους διαιρουμένη, καὶ ἀναφερομένη εἰς τὴν Γένεσιν 7, — εἰς τὴν Ἔξοδον 3, εἰς τὸ Λευϊτικὸν 1, — εἰς τοὺς Ἀριθμοὺς 1, — εἰς τὸ Δευτερονόμιον 1, ἐπαινεῖται συχνῶς ὑπὸ τῶν ἀρχαίων ἐκκλησιαστικῶν. Fessler Inst. Patr. T. II p. 560—561.

2) Τῆς ἐξηγήσεως ταύτης ποιεῖται μνείαν Εὐφραίμιος ὁ Ἀντιοχείας παρὰ Φωτ. ἀναγν. 229, καὶ Λεόντιος ' Βυζάντιος κατὰ Νεστορ. καὶ Εὐτυχ. βιβλ. β'.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τρίβει τῇ κατὰ γράμμα ἐννοίᾳ· τῇ δὲ πνευματικῇ, ἐκεῖ μόνον ἔνθα ὑπὸ τῆς ὑποθέσεως ἐπιτρέπεται.[1])

ε') Ἡ ἑρμηνεία ἢ τὸ ὑπόμνημα εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον. — Τὸ ὑπόμνημα τοῦτο διαιρεῖται εἰς ιβ' βιβλία, ὧν μόνον τὸ ζ' καὶ τὸ η' διεσώθησαν εἰς ἡμᾶς ἐν μικροῖς τεμαχίοις. Κατὰ τὸν θεσπέσιον Διδάσκαλον, ὁ εὐαγγελιστὴς Ἰωάννης παρωρμήθη εἰς τὴν τοῦ Εὐαγγελίου συγγραφὴν ὑπὸ τῶν ἑξῆς περιστατικῶν: ψευδοποιμένες καὶ ψευδοδιδάσκαλοί τινες, θηρίων ἀτιθάσσων δίκην τοῖς τοῦ Σωτῆρος ἐπιπεσόντες ποιμνίοις, διϊσχυρίζοντο ἀμαθῶς τε καὶ ἀσεβῶς, ὅτι ὁ Μονογενὴς τοῦ Θεοῦ Λόγος, τὸ φῶς τὸ ἀΐδιον, ἐν ᾧ δὴ πάντες καὶ κινούμεθα καὶ ἐσμέν, τότε πρῶτον ἔλαβεν ἀρχὴν τῆς ὑπάρξεως, ὅτε καὶ ἄνθρωπος διὰ τῆς ἁγίας ἐτέχθη Παρθένου. Ἐπειδὴ δὲ ἡ ἀσεβεστάτη αὕτη δοξασία ἤγειρεν οὐ σμικρὸν θόρυβον ἐν τοῖς πιστεύουσι, συνελθόντες ἐπὶ τὸ αὐτὸ τῶν υἱῶν τῆς εὐσεβείας οἱ νουνεχέστεροι, διηγήσαντο τῷ Ἰωάννῃ τὴν ἐπισκήψασαν νόσον, ἀπεκάλυψαν αὐτῷ τὰς φλυαρίας τῶν ψευδοδιδασκάλων, καὶ παρεκάλεσαν θερμῶς ἐπαμῦναι αὐτοῖς ταῖς διὰ τοῦ πνεύματος φωταγωγίαις. „Ἐπαλγήσας τοίνυν, λέγει, τοῖς ἀπολωλόσι καὶ τὸν νοῦν κατεφθαρμένοις ὁ μαθητής, εἶναί τε ὁμοίως οἰηθεὶς ἀτοπώτατον τὸ μηδεμίαν τῶν ἐφεξῆς καὶ μετ' ἐκείνους ἐσομένων ποιήσασθαι πρόνοιαν, ἐπὶ τὴν τοῦ βιβλίου τρέχει συγγραφὴν . . . " — Ὁ ἅγιος Κύριλλος λέγει τῷ προτρέψαντι αὐτὸν πρὸς τὴν συγγραφὴν τοῦ ὑπομνήματος τούτου ἀδελφῷ αὐτοῦ, οὗ τὸ ὄνομα οὐ μνημονεύει, ὅτι δυσχερεστάτη μὲν ἡ τῶν θείων μυστηρίων ἐξήγησις, ἀλλ' ὅμως ἐπεχείρησεν αὐτῇ κυρίως πρὸς ἔλεγχον καὶ ἀνασκευὴν τῶν ψευδοδοξιῶν τῶν ἑτεροδιδασκαλούντων, κατ' ἐξοχὴν δὲ τοῦ θεοστυγοῦς Εὐνομίου. — Ἐν τῷ πρώτῳ βιβλίῳ δίδωσι τὴν ἐξήγησιν τοῦ ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἐστι συναΐδιος τῷ Θεῷ Πατρὶ καὶ πρὸ παντὸς χρόνου γεννηθείς, οὐχὶ δὲ μετὰ τὸν Πατέρα· ὅτι καὶ Θεὸς καὶ ὁμοούσιος τῷ Πατρὶ ὑπάρχων ὁ Υἱός, ἐν ἰδίᾳ ἐστὶν ὑποστάσει, ὁμοίως δὲ καὶ ὁ Πατήρ. Ἀνασκευάζει δὲ οὕτω τὴν κακοδοξίαν τῶν

1) Τῆς εἰς Ζαχαρίαν ἐξηγήσεως ποιοῦνται μνείαν μετ' ἐπαίνων Εὐφραίμιος ὁ Ἀντιοχείας παρὰ Φωτ. ἀνάγν. 229 σελ. 430 καὶ Λεόντιος ὁ Βυζάντιος, σχολ. πρᾶξ. θ'. Καὶ τῆς εἰς Μαλαχίαν ἐξηγήσεως ποιεῖται ὡσαύτως μνείαν ὁ Εὐφραίμιος παρὰ Φωτ. αὐτόθ. σελ. 424.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*περὶ Εὐνόμιον, τολμησάντων εἰπεῖν, ὅτι ἕτερος ὁ ἐνδιάθετος καὶ κατὰ φύσιν ἐν τῷ Θεῷ καὶ Πατρὶ Λόγος, καὶ ἕτερος ὁ ἐν ταῖς θείαις Γραφαῖς λεγόμενος Υἱός.*[1]) *Ἀποδείκνυσι δὲ ὅτι ὁ Υἱός ἐστι κατὰ φύσιν δημιουργὸς μετὰ τοῦ Πατρός· ὅτι ἐστὶ κατὰ φύσιν ζωή, καὶ διὰ τοῦτο οὐ γενητός, ἀλλ' ἐκ τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρός, ὡς φῶς ἀληθινὸν ἐκ φωτὸς ἀληθινοῦ. Ἑρμηνεύων δὲ ὁ μέγας Διδάσκαλος τό: ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, ἀνασκευάζει διὰ μαρτυριῶν ἐξ ἄλλων τῆς ἁγίας Γραφῆς βιβλίων καὶ δι' ἰδίων συλλογισμῶν τὴν ψευδῆ δόξαν περὶ προϋπάρξεως τῶν ψυχῶν, τῶν ἀποστελλομένων δῆθεν εἰς τὰ σώματα πρὸς τιμωρίαν ἐπὶ ἁμαρτήμασι γενομένοις ἄνευ τοῦ σώματος. — Ἐν τῷ β' βιβλίῳ δίδωσι τὴν ἀπόδειξιν τοῦ ὅτι οὐσιωδῶς καὶ κατὰ φύσιν ἐνυπάρχει τῷ Υἱῷ τὸ Πνεῦμα τὸ ἅγιον· ὅτι ὁ Υἱὸς οὐκ ἔστιν ἐν τοῖς γενητοῖς, ἀλλ' ἐπάνω πάντων, ὡς Θεὸς ἐκ Θεοῦ· ὅτι Θεὸς καὶ ἐκ Θεοῦ κατὰ φύσιν ἐστὶν ὁ Υἱός· ὅτι τὰ τοῦ Θεοῦ καὶ Πατρός εἰσιν ἴδια τοῦ Υἱοῦ οὐσιωδῶς καὶ κατὰ φύσιν· ὅτι ὁ Υἱὸς συνπροσκυνεῖται μετὰ τοῦ Πατρός, καὶ ὅτι ἐστὶν ἰσοσθενὴς καὶ ὅμοιος Αὐτῷ, ὡς ἐξ Αὐτοῦ κατὰ φύσιν· ὅτι οὐδὲν τῶν θεοπρεπῶν ἀξιωμάτων ἐστὶν ἐξ ἁπλῆς μετοχῆς ἢ ἐπακτὸν ἐν τῷ Υἱῷ· ὅτι ὁ Υἱὸς ἔχει ἴσην τὴν πρὸς τὸν Πατέρα τιμὴν καὶ δόξαν, Θεὸς καὶ ἐκ Θεοῦ κατὰ φύσιν ὑπάρχων Υἱός. — Ἐν τῷ γ' βιβλίῳ ἀναπτύσ-*

1) *Ἀνασκευάζων ὁ ἅγ. Κύριλλος καὶ ἄλλας τῶν αἱρετικῶν τούτων ἐνστάσεις, διεγείρει τὴν προσοχὴν τῶν ἀναγνωστῶν εἰς τὴν χρῆσιν τοῦ ὁριστικοῦ ἄρθρου ἐν τῇ ἑλληνικῇ γλώσσῃ, σημειούμενος ὅτι, „ὅτε τὰ ὀνόματα, προταττομένων τῶν ἄρθρων, ἡ θεία τίθησι Γραφή, τότε καὶ ἕν τι σημαίνει, ὃ μόνον ἐστὶ κυρίως καὶ ἀληθινῶς, ὁποῖον εἶναι λέγεται· ἄρθρον δὲ οὐ προθεῖσα, γενικωτέραν ποιεῖται κατὰ παντὸς τοῦ σημαινομένου τὴν δήλωσιν, οἷον (ἥξει γὰρ ὁ λόγος καὶ δι' ἐναργοῦς ἀποδείξεως) πολλοὶ καλοῦνται θεοί· ἀλλ' ὅταν μετὰ τοῦ ἄρθρου λέγεται ὁ Θεός, τὸν μόνον ὄντα καὶ κυρίως σημαίνει· ἁπλούστερον δὲ καὶ ἄρθρου χωρίς, ἕνα τυχὸν τῶν εἰς τοῦτο κατὰ χάριν κεκλημένων. Καὶ πάλιν ἄνθρωποι πολλοί· ἀλλ' ὅτε μετὰ τοῦ ἄρθρου φησὶν ὁ Σωτήρ, ὁ Υἱὸς τοῦ ἀνθρώπου, ὡς ἐκλελοχισμένον ἀπὸ μυριάδων ἑαυτὸν κατασημαίνει. Τοῦτον ἐχόντων τῶν ὀνομάτων τὸν τύπον παρὰ τῇ θείᾳ Γραφῇ, πῶς ἄρα προσήκει νοῆσαι τό: ἐν ἀρχῇ ἦν ὁ Λόγος; Εἰ μὲν γὰρ πᾶς λόγος τοῦ Θεοῦ διὰ τούτου σημαίνεται, ὡς ὑπάρχων ἐν ἀρχῇ, δεικνύτωσαν αὐτοί, καὶ ληροῦμεν ἡμεῖς· εἰ δὲ προτάξας τὸ ἄρθρον ὁ Εὐαγγελιστής, ὡς ἕνα καὶ κυρίως ὄντα σημαίνει, βοῶν: ἐν ἀρχῇ ἦν ὁ Λόγος, τί μάτην φιλονεικοῦσιν ἕτερον ἐπεισφέροντες, ἵνα μόνον ἐκπέμπωσι τῆς οὐσίας τοῦ Πατρὸς τὸν Υἱὸν . . . ;“*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σει τὸ διὰ τί ὠνομάσθη ὑπὸ τοῦ Κυρίου ὁ Βαπτιστὴς „λύχνος καιόμενος καὶ φαίνων"· ἀποδείκνυσιν ὅτι ὁ Υἱός ἐστιν εἰκὼν τοῦ Θεοῦ καὶ Πατρός· ὅτι ὁ Μωϋσῆς ἐδήλωσε τὴν τοῦ Λυτρωτοῦ ἔλευσιν· ὅτι αἱ ἐξ Ἱερουσαλὴμ τοῦ Κυρίου ἀποδημίαι ἐδήλουν τὴν μέλλουσαν γενέσθαι ἐπὶ τὰ ἔθνη μετάθεσιν τῆς χάριτος· ὅτι ὁ Μονογενής ἐστι χαρακτὴρ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς ὑποστάσεως· ὅτι τὸ μάννα ἦν τύπος τῆς Χριστοῦ παρουσίας καὶ τῶν δι' Αὐτοῦ πνευματικῶν χαρισμάτων. — Ἐν τῷ δ' βιβλίῳ δίδωσι τὴν ἀπόδειξιν τοῦ ὅτι ὁ ἀρχαῖος νόμος ἦν τύπος τοῦ νέου, τοῦ νόμου τῆς χάριτος. — Ἐν τῷ ε' ἀνασκευάζει τὴν περὶ εἱμαρμένης δοξασίαν, ἀποδεικνὺς ὅτι ἡ θεία Πρόνοια κυβερνᾷ τὰ πάντα πανσόφως. — Ἐν τῷ ϛ' ἀποδείκνυσιν ὅτι οὐκ ἐπισυμβαίνουσί τισι τὰ σωματικὰ πάθη ἐκ προγενεστέρων τῆς ψυχῆς ἁμαρτιῶν, οὐδ' ἐπάγει τισὶν ὁ Θεὸς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἢ ἄλλων τινῶν, κολάζων τοὺς μὴ ἡμαρτηκότας. — Ἐν τῷ θ' λέγει ὅτι διὰ τὴν ταὐτότητα τῆς φύσεως, ὁ Υἱός ἐστιν ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν τῷ Υἱῷ. — Ἐν τῷ ι', ὅτι κατ' οὐδέν ἐστιν ὁ Υἱὸς ἐλάττων τοῦ Πατρός, ἀλλ' ἴσος καὶ ὅμοιος Αὐτῷ κατὰ φύσιν· ὅτι ἐστὶν ὁμοούσιος Αὐτῷ, καὶ οὐχὶ ἑτεροφυής, ὡς ἐδόξαζόν τινες τῶν ἀσεβῶν. — Ἐν τῷ ια', ὅτι κατὰ φύσιν ἐκ Θεοῦ καὶ ἐν Υἱῷ τὸ ἅγιον Πνεῦμα, καὶ δι' Αὐτοῦ καὶ ἐν τῇ οὐσίᾳ Αὐτοῦ· καὶ ὅτι ἴσος καὶ ὁμοούσιος τῷ Πατρὶ ὁ Υἱός. — Ἐν τῷ ιβ' ὅτι ὁ Υἱός ἐστι κατὰ φύσιν Θεός εἰ καὶ δι' ἡμᾶς καλεῖ τὸν Πατέρα Θεὸν Ἑαυτοῦ.[1])

Τὰ ἐν τεμαχίοις διασωθέντα εἰς ἡμᾶς ἑρμηνευτικὰ τοῦ ἁγ. Κυρίλλου συγγράμματά εἰσι τάδε:

α') ἡ ἑρμηνεία εἰς τὰς Βασιλειῶν βίβλους.

β') ἡ ἑρμην. εἰς τοὺς ψαλμούς.

γ') ἡ ἑρμην. εἰς τὴν ᾠδὴν Μωσέως ἐν Ἐξόδῳ.

δ') ἡ ἑρμην. εἰς τὴν ᾠδὴν Μωσέως ἐν Δευτερονομίῳ.

ε') ἡ ἑρμην. εἰς τὴν ᾠδὴν Ἄννης μητρὸς Σαμουὴλ ἐν Βασιλείῳ πρώτῳ.

στ') ἡ ἑρμην. εἰς τὰς Παροιμίας.

ζ) ἡ ἑρμην. εἰς τὰ ᾄσματα τῶν ᾀσμάτων.[2])

1) Ἑκάστου κεφαλαίου παντὸς βιβλίου προηγεῖται περίληψις ὑπ' αὐτοῦ τοῦ θείου Πατρὸς προσαφθεῖσα.

2) Τὰ διασωθέντα τῆς ἑρμηνείας ταύτης ἀποσπάσματά εἰσιν ἐξενη-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

η΄) ἡ ἑρμην. εἰς τοὺς προφήτας Ἱερεμίαν, Βαρούχ, Ἰεζεκιὴλ[2]) καὶ Δανιήλ.

θ΄) ἡ ἑρμην. εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον.[3])

ι΄) ἡ ἑρμην. εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον.[4]) — Εν ἑκαστῃ σχεδὸν σελίδι τῆς ἑρμηνείας ταύτης διδάσκει ὁ ἅγιος Κύριλλος καὶ ὑπερασπίζει τὴν Θεότητα τοῦ Λόγου καὶ ἅπασαν τὴν θείαν οἰκονομίαν τῆς ἀρρήτου Αὐτοῦ Ἐνανθρωπήσεως, ὥςπερ καὶ τὴν διάκρισιν τῶν δύο φύσεων καὶ τῶν δύο ἐνεργειῶν ἐν τῷ Ἰησοῦ Χριστῷ. Ἀναπτύσσει δὲ προςέτι καὶ ἄλλα δόγματα, οἷά εἰσι τὸ τῆς διατάξεως τοῦ μυστηρίου τῆς μετανοίας, τὸ ἀναγκαῖον τῆς θείας χάριτος, ἡ ἀνάστασις τῆς σαρκός, καὶ τὸ αἰώνιον τῶν ποινῶν, ἡ ὕπαρξις τῶν φυλάκων ἀγγέλων, ἡ διδασκαλία περὶ τῶν ἀμοιβῶν τῶν ἁγίων, περὶ τῆς καθ᾽ ἑκάστην τελετῆς τῆς ἀναιμάκτου θυσίας, καὶ περὶ τῆς πραγματικῆς παρουσίας.

ια΄) ἡ ἑρμην. εἰς τὰς πράξεις τῶν Ἀποστόλων.

ιβ΄) ἡ ἑρμην. εἰς τὴν πρὸς Ῥωμαίους ἐπιστολήν.[5]) — Ἐν τῇ ἑρμηνείᾳ ταύτῃ, καθάπερ καὶ ἐν τῇ εἰς τοὺς ψαλ-

---

νεγμένα ἐκ τῆς Σειρᾶς τοῦ Προκοπίου. Ἐξετυπώθησαν δὲ μετὰ τῶν λοιπῶν ἀποσπασμάτων τῶν τοῦ ἁγ. Κυρίλλου συγγραμμάτων ὑπὸ Ἀγγέλου Μαΐου ἐν Bibl. Nov. Patr. IX. Ἐν τῷ ᾄσματι τῶν ᾀσμάτων ἐνορᾷ ὁ ἅγ. Πατὴρ ἐννοίας μόνον πνευματικὰς καὶ εὐσεβεῖς, τοὺς ἄλλους ἁγίους Πατέρας, Ἕλληνάς τε καὶ Λατίνους, κατὰ τοῦτο μιμούμενος. Ἐνταῦθα ἀπαντᾷ νέα μαρτυρία τοῦ ἱεροῦ Διδασκάλου περὶ τῆς παρουσίας τῆς ἀνθρωπότητος τοῦ Ἰησοῦ Χριστοῦ ὑπὸ τὰ εἴδη τοῦ μυστηρίου τῆς ἁγιωτάτης εὐχαριστίας. „Δηλοῖ δὲ, λέγει, καὶ τὸ ἱερατεῖον αὐτοῦ (τοῦ Χριστοῦ), λέγων: μὴ ὑστερούμενος κράμασι, δηλονότι τῷ τοῦ Χριστοῦ αἵματι· τοῦτο γὰρ τοῖς ἱερεῦσιν ἐν χερσίν“ (Col. 1291). — „Τράχηλον δὲ αὐτῆς τοὺς διακόνους τοῦ Χριστοῦ λέγει, διὰ τὸν Χριστὸν βαστάζειν τῆς ἐκκλησίας τὴν κεφαλήν. Βαστάζουσι γὰρ αὐτοῦ τὸ ἅγιον σῶμα ἐν καθαρᾷ συνειδήσει, ὁμολογοῦντες αὐτοῦ τὰ μυστήρια.“

2) Angelo Maii, Biblioth. nov. Patr. II 467.

3) Τὰ τεμάχια τῆς ἑρμηνείας ταύτης διέσωσαν: Εὐφραίμιος ὁ Ἀντιοχείας παρὰ Φωτ. ἀνάγν. 229. σελ. 429. 431. 332. Facundus Hermian. in Defensione trium capital. lib. II. c. 7. Λεόντιος ὁ Βυζάντιος κατὰ Νεστορ. καὶ Εὐτυχ.· βιβλ. β΄. ὁ ἅγ. Μάξιμος ὁ Ὁμολογητὴς ἐν τῇ πρὸς Νίκανδρον ἐπιστολῇ. Ἀναστάσιος ὁ Πρεσβύτερος in A. Maii Nov. collect. V. Script. T. VII. P. I. p. 10. 24. 35—26. Πρβλ. Tillemont l. c. Art. CLVIII p. 673, καὶ Fabricii Bibl. Gr. Vol. IX. p. 494—495.

4) Τὰ διασωθέντα τῆς ἑρμηνείας ταύτης τεμάχια εὕρηνται in A. Maii Auct. classicor. ex Codd. Vaticanis T. X p. 1—407. 501—546. 605—613, καὶ in N. Collect. V. Script. T, IX p. 741.

5) Καὶ τὰ τεμάχια τῆς εἰς τὴν ἐπιστολὴν ταύτην ἑρμηνείας ἐξεδόθησαν ὡςαύτως ὑπὸ τοῦ Ἀγγέλου Μαΐου in N. Bibl. Patr. T. III p. 1.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μούς, ἀποδείκνυσι καὶ ὑπερασπίζει τὴν ἀληθινήν, τὴν κατὰ φύσιν, καὶ τὴν ὁμοούσιον τοῦ Υἱοῦ Θεότητα. Ἑρμηνεύων τὸν ιη' στίχον τοῦ ε' κεφαλ., ἐκφέρει τὴν ὑπεράσπισιν τοῦ δόγματος περὶ τοῦ προπατορικοῦ ἁμαρτήματος, λέγων τὸ πῶς ἐγενόμεθα ἁμαρτωλοὶ διὰ τῆς τοῦ Ἀδὰμ παρακοῆς. „Τίς οὖν ἂν γένοιτο, λέγει, πρὸς ἡμᾶς τῆς ἀπολογίας ὁ τρόπος; Οὐκοῦν ψυχὴ μὲν ἡ ἁμαρτάνουσα αὐτὴ ἀποθανεῖται. Ἁμαρτωλοὶ δὲ γεγόναμεν διὰ τῆς παρακοῆς τοῦ Ἀδὰμ διὰ τοιόνδε τρόπον. Πεποίητο μὲν γὰρ ἐπὶ ἀφθαρσίᾳ καὶ ζωῇ, ἦν δὲ αὐτῷ καὶ ὁ βίος ἁγιοπρεπὴς ἐν τῷ παραδείσῳ τῆς τρυφῆς, ὅλος ἦν καὶ διὰ παντὸς ἐν θεοπτίαις ὁ νοῦς, ἐν εὐδίᾳ δὲ καὶ γαλήνῃ τὸ σῶμα, κατηρεμούσης ἁπάσης αἰσχρᾶς ἡδονῆς· οὐ γὰρ ἦν ἐκτόπων κινημάτων θόρυβος ἐν αὐτῷ. Ἐπειδὴ δὲ πέπτωκεν ὑφ' ἁμαρτίαν, καὶ κατώλισθεν εἰς φθοράν, ἐντεῦθεν εἰςέδραμον τὴν τῆς σαρκὸς φύσιν ἡδοναί τε καὶ ἀκαθαρσίαι, ἀνέβη δὲ καὶ ὁ ἐν τοῖς μέλεσιν ἡμῶν ἀγριαίνων νόμος. Νενόσηκεν οὖν ἡ φύσις τὴν ἁμαρτίαν διὰ τῆς παρακοῆς τοῦ ἑνὸς τοῦτ' ἔστιν Ἀδάμ· οὕτως ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί, οὐχ ὡς τῷ Ἀδὰμ συμπαραβεβηκότες, οὐ γὰρ ἦσαν πώποτε, ἀλλ' ὡς τῆς ἐκείνου φύσεως ὄντες τῆς ὑπὸ νόμον πεσούσης τὸν τῆς ἁμαρτίας. Ὥςπερ τοίνυν ἠῤῥώστησεν ἡ ἀνθρωπίνη φύσις ἐν Ἀδὰμ διὰ τῆς παρακοῆς τὴν φθοράν, εἰςέδυ τε οὕτως αὐτὴν τὰ πάθη, οὕτως ἀπήλλακται πάλιν ἐν Χριστῷ· γέγονε γὰρ ὑπήκοος τῷ Θεῷ καὶ Πατρί, καὶ οὐκ ἐποίησεν ἁμαρτίαν“.[1])

ιγ') ἡ ἑρμην. εἰς τὴν πρὸς Κορινθίους ἐπιστολὴν Α'. — Καὶ ἐν τῇ ἑρμηνείᾳ ταύτῃ πιστοῖ ὁ ἅγιος Κύριλλος, ὡς καὶ ἐν τοῖς ἄλλοις αὐτοῦ συγγράμμασι, τὴν θείαν τοῦ Ἰησοῦ Χριστοῦ φύσιν, θαυμασίως καταπολεμῶν τοὺς Ἀρειανούς. Ἐν αὐτῇ διδάσκονται: ἡ ἐκ τοῦ μηδενὸς δημιουργία τοῦ κόσμου[2]), ἡ ἀνάγκη τῆς πίστεως[3]), καὶ τὸ πραγματικὸν τῆς σαρκὸς τοῦ

---

1) S. Cyrill. oper. tom. VII. coll. 787—790 ed. Migne.

2) „Ἠγνοήκασι γὰρ τὸν τῶν ὅλων Θεόν, ὃς τόδε τὸ σύμπαν ἀποῤῥήτοις ἐνεργείαις ἀπονητὶ διεπήξατο καὶ παρήνεγκεν εἰς τὸ εἶναι τὰ οὐκ ὄντα πάντα, κατανεύσας μόνον.“

3) „Τῷ γὰρ κηρύγματι προςεπῆγον οἱ Ἀπόστολοι καὶ θεοσημείας, ἀπόδειξιν ἐναργῆ τὸ χρῆμα ποιούμενοι τὸ χρῆναι πιστεύειν, ὅτι Θεὸς ἐν τούτοις διὰ τοῦ Πνεύματος καὶ δι' αὐτῶν μεμαρτύρηται τῶν πραγμάτων, ὡς ἀῤῥήτῳ τινὶ καὶ ἀφράστῳ δυνάμει τε καὶ ἐνεργείᾳ χρώμενοι, καὶ ακτορθοῦν εὐκόλως τὰς τερατουργίας.“ αὐτόθ. col. 864.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἰησοῦ Χριστοῦ.[1]) Ὁ θεσπέσιος Διδάσκαλος ἀναπτύσσει ἐν αὐτῇ ἄριστα τὴν μετα τοῦ Ἰησοῦ Χριστοῦ ἕνωσιν τῶν πιστῶν[2]), καὶ τὸ πῶς δεῖ νοεῖν τὴν λέξιν προφητεύειν, ᾗ χρῆται ὁ Ἀπόστολος ἐν τῷ ιδ΄ κεφ. στίχ. 2.[3]) Ἐν αὐτῇ ὑπάρχει πάνυ σαφὴς μαρτυρία περὶ τῆς Θεότητος τοῦ ἁγίου Πνεύματος[4]), καὶ ἐξαίρετον ἐγκώμιον τῆς τε ἑρμηνευτικῆς ἐπιστήμης καὶ τοῦ ἀξιώματος τοῦ κήρυκος τοῦ θείου λόγου.[5]) Ἐν αὐτῇ ἔτι γίνεται μνεία περὶ τῆς χρήσεως τοῦ χριστιανικοῦ χοροῦ, περὶ ἧς χρήσεως ποιεῖται λόγον καὶ ὁ ἱερὸς Αὐγουστῖνος (Confess. lib. IX 7)[6]), καὶ ἐκφέρεται ἔτι μακρὰ καὶ ἐξαίρετος ἀπολογία εἰς τὸ περὶ ἀναστάσεως τῶν σωμάτων δόγμα.[7])

ιδ΄) ἡ ἑρμην. εἰς τὴν πρὸς Κορινθίους ἐπιστολὴν Β΄. — Ἐν αὐτῇ εὕρηται νέα ἀξιομνημόνευτος μαρτυρία τοῦ ἁγίου Κυρίλλου περὶ τῆς Θεότητος τοῦ ἁγίου Πνεύματος[8]) καὶ παράθεσις χωρίου ἐκ τῆς Σοφίας Σολομῶντος.[9])

1) „Πῶς ἂν εἶεν μέλη Χριστοῦ τὰ ἡμῶν; Ἔχομεν αὐτὸν ἐν ἑαυτοῖς αἰσθητῶς τε καὶ νοητῶς. Κατοικεῖ μὲν γὰρ ἐν ταῖς καρδίαις ἡμῶν διὰ τοῦ Πνεύματος, μετεσχήκαμεν δὲ καὶ τῆς ἁγίας αὐτοῦ σαρκὸς, ἡγιάσμεθά τε διττῶς· καὶ κατῴκησεν ἐν ἡμῖν ὡς ζῶν καὶ ζωοποιός, ἵνα τὸν τοῖς μέλεσιν ἡμῶν ἐπισκήψαντα θάνατον καταργήσῃ δι' ἑαυτοῦ." αὐτόθ. col. 869.

2) „Ἡνώμεθα γὰρ ἀλλήλοις, σύσσωμοί τε γεγόναμεν ἐν Χριστῷ, συνεγείραντος ἡμᾶς καὶ μονονουχὶ συνδέοντος διὰ τοῦ ἑνὸς καὶ ἐν πᾶσιν ἁγίου Πνεύματος, ὃ καὶ ἐν πόματος τάξει ζωοποιοῦ πεποτίσμεθα." αὐτόθ. col. 888—889.

3) „Οὐκοῦν τὸ προφητεύειν ἐν τούτοις εἴη ἂν ἕτερον οὐδὲν, πλὴν ὅτι καὶ μόνον τὸ διερμηνεύειν δύνασθαι προφητείας· καὶ τοῖς ἀκροωμένοις ὡς ἔνι καταλευκαίνοντες, εἶτα πρὸς ἀλήθειαν τὸν οἰκεῖον ἐξ αὐτῶν ἐμπεδοῦντες λόγον, ὀρθοί τε καὶ ἀπλανεῖς ἐσόμεθα τῶν καλλίστων ἐξηγηταί . . ." col. 889.

4) „Συνήσει γὰρ οὐδείς, πλὴν μόνου τοῦ πάντα εἰδότος Θεοῦ· τῷ γὰρ Πνεύματι, φησί, λαλεῖ μυστήρια. Ἄθρει δὲ ὅπως ὁ Θεῷ λαλῶν, Πνεύματι λαλεῖ· Θεὸς οὖν ἄρα τὸ Πνεῦμα." αὐτ. col. 889.

5) „Μεῖζον οὖν ἄρα καὶ ἐν ὑπερτάτοις αὐχήμασι τὸ προφητεύειν ἐστὶν καὶ ἐν ἐλπίσι λαμπραῖς· εἴπερ ἐστὶν ἄμεινον ὁμολογουμένως τὸ ἐκκλησίαν οἰκοδομεῖν τοῦ ἑαυτῷ τε καὶ μόνῳ προςδιαλέγεσθαι γλώσσῃ." col. 892.

6) „Ὅταν, φησὶν (ὁ Ἀπόστολος), αὐτὸς μὲν γλώσσῃ λαλῇς, ὅ γε μὴν ἐν τάξει τῇ τοῦ λαϊκοῦ κείμενος, εἰ τὴν σὴν οὐκ εἰδείη φωνὴν, πῶς προςυπακούσεται τὸ ἀμὴν ἐν ταῖς ἰδίαις εὐχαριστίαις ἤτοι προσευχαῖς; ἵνα τῇ τῶν ἱερέων τελειότητι τὸ δοκοῦν ἐλλείπειν τοῖς τῶν λαῶν ἀναπληρῷτο μέτροις, καὶ οἷον τοὺς μικροὺς μετὰ τῶν μεγάλων ὡς ἑνότητι Πνεύματος παραδέχοιτο Θεός." col. 893.

7) col. 895 et seq.

8) „Τῆς τῶν ἀνοσίων αἱρετικῶν συκοφαντίας οὐκ ἀνεξόμεθα, τοῖς γενητοῖς ἐναρίθμιον ποιεῖσθαι τὸ Πνεῦμα." — col. 931.

9) col. 935.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*ιε΄) ἡ ἑρμην. εἰς τὴν πρὸς Γαλάτας ἐπιστολήν, ἐξ ἧς διεσώθη ἓν μόνον τεμάχιον.*

*ιϛ΄) ἡ ἑρμην. εἰς τὴν πρὸς Κολοσσαεῖς ἐπιστολήν, ἐξ ἧς ὡσαύτως διεσώθη ἓν μόνον τεμάχιον.*

*ιζ΄) ἡ ἑρμην. εἰς τὴν πρὸς Ἑβραίους ἐπιστολήν, ἐν ᾗ σπουδάζει ὁ ἅγιος Κύριλλος καταπολεμῆσαι τοὺς Ἀρειανούς, ἀπορρίπτοντας ἐκ τοῦ κανόνος τῶν Γραφῶν τὴν ἐπιστολὴν ταύτην.*[1])

*καὶ ιη΄) ἡ ἑρμην. εἰς τὰς καθολικὰς ἐπιστολάς, δηλ. εἰς τὴν τοῦ Ἰακώβου καὶ εἰς τὰς δύο τοῦ Πέτρου, εἰς τὴν πρώτην τοῦ εὐαγγελιστοῦ Ἰωάννου, καὶ εἰς τὴν τοῦ Ἰούδα.*

---

## ΟΜΙΛΙΑΙ ΤΟΥ ΑΓΙΟΥ ΚΥΡΙΛΛΟΥ.

*Κατὰ τὸν Γεννάδιον*[2]), *ὁ ἅγιος Κύριλλος ἔγραψε πλείστας ὁμιλίας, ἃς ἐξεμάνθανον οἱ ἕλληνες ἐπίσκοποι, ὅπως ἐκφωνῶσιν αὐτὰς ἐν ταῖς ἐκκλησίαις. Ἐκ τούτων διεσώθησαν μόνον αἱ ἑξῆς: α΄) τριάκοντα ἑορταστικαί, εἰς τόπον γραφεῖσαι τῶν ἐγκυκλίων ἐκείνων ἐπιστολῶν, ἃς ὤφειλεν ὁ Ἀλεξανδρείας ἐπίσκοπος, κατ' ἀπόφασιν τῆς ἐν Νικαίᾳ Α΄. οἰκουμενικῆς Συνόδου, διαπέμπειν, ὡς ἄλλοθι εἴδομεν, κατὰ πᾶν ἀρχόμενον ἔτος πρὸς τὰς ἄλλας ἀνὰ τὴν Αἴγυπτον ἐκκλησίας, εἰς γνωρισμὸν τῆς ἡμέρας τῆς τοῦ Πάσχα ἑορτῆς. Ἐν ταῖς ὁμιλίαις ταύταις ἀναπτύσσει ὁ θεσπέσιος Κύριλλος, πλὴν τοῦ γνωρισμοῦ τῆς ἡμέρας τῆς τοῦ Πάσχα ἑορτῆς, τὰς ἑαυτοῦ ἐννοίας περὶ τῶν ἰδιοτήτων καὶ τῆς ὠφελείας τῆς ἀληθοῦς νηστείας, περὶ τῆς πρὸς τὸν πλησίον ἀγάπης, περὶ τῶν ἰδιοτήτων τῆς ἀληθοῦς πίστεως, περὶ τῶν αἰτιῶν τῆς ἀπὸ τῆς πίστεως ἀποστασίας, περὶ τῆς πνευματικῆς πάλης πρὸς τοὺς ἐχθροὺς τῆς σωτηρίας, περὶ τῆς διηνεκοῦς προσευχῆς, καὶ περὶ τῆς τελείας τῷ Θεῷ ἀφοσιώσεως. Ἡ ὑπόθεσις αὐτῶν ἐστι τὸ μὲν δογμα-*

---

1) *Τεμάχια ἐκ ταύτης παράγουσιν: ὁ μακάριος Θεοδώρητος ἐν τῷ Ἐραν. βιβλ. β΄. Ἐφραίμιος ὁ Ἀντιοχείας παρὰ Φωτ. ἀνάγν.* 229. *σελ.* 420. 423. 430, *Λεόντ. ὁ Βυζάντ. κατὰ Νεστορ. καὶ Εὐτυχιαν. βιβλ. α΄. καὶ β΄. ὁ ἅγ. Ἀναστάσιος ἐν τῷ Ὁδηγῷ, κεφ.* 10, *καὶ Ἀναστάσ. ὁ Πρεσβύτ.* in A. Maii N. Collect. Vet. Script. T. VII. P. 1. p. 8. 10. 18. 24. 25.

2) Lib. de Script. eccles. c. 57.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τικὴ καὶ ἐριστική, τὸ δὲ ἠθική. Δογματικαί εἰσι κυρίως, ἡ ιβ' ιγ' ιζ' ιη' κ' καὶ κθ', ἐν αἷς καταπολεμεῖ τούς τε Ἀρειανούς, καὶ τοὺς Ἰουδαίους, καὶ τοὺς ἐθνικούς.[1])

β') Ἑπτὰ ὁμιλίαι, ἐκφωνηθεῖσαι ἐν Ἐφέσῳ, καθ' ἃ εἴπομεν ἀλλαχοῦ.

γ') Ὁμιλίαι τινὲς εἴς τινας ἑορτάς. 1) εἰς τὴν Μεταμόρφωσιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· 2) εἰς τὸ μυστικὸν δεῖπνον καὶ εἰς τὸν νιπτῆρα· τῇ ἁγίᾳ πέμπτῃ· 3) εἰς τὴν Ὑπαντὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· 4) εἰς τὴν ἁγίαν ἑορτὴν τῶν Βαΐων, καὶ εἰς τὸν πῶλον· 5) περὶ ἐξόδου ψυχῆς, καὶ περὶ τῆς δευτέρας παρουσίας· 6) περὶ τῆς Ἐνανθρωπήσεως τοῦ Θεοῦ Λόγου· καὶ 7) εἰς τὴν παραβολὴν τοῦ ἀμπελῶνος.[2])

## ΕΠΙΣΤΟΛΑΙ ΤΟΥ ΑΓΙΟΥ ΚΥΡΙΛΛΟΥ.

Αἱ ἐπιστολαὶ τοῦ ἁγίου Κυρίλλου εἰσὶν ἑξήκοντα καὶ πέντε τὸν ἀριθμόν, καὶ τούτων τινὲς διεσώθησαν μόνον ἐν λατινικῇ μεταφράσει, ὡς εἴδομεν. Διαιροῦνται δὲ καὶ αὗται εἰς δογματκάς, ἱστορικάς, καὶ κανονικάς.

Α'. Ἅπασαι αἱ δογματικαὶ ἀναφέρονται εἰς τὸ τῆς Ἐνανθρωπήσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μυστήριον. Διαπρεπέστεραι δὲ τούτων εἰσί, α') ἡ πρὸς τοὺς μοναχοὺς τῆς Αἰγύπτου (ἐπ. 1)· β') αἱ τρεῖς πρὸς Νεστόριον (ἐπ. 2. 4, καὶ 17)· γ') ἡ πρὸς Ἀκάκιον τὸν Βερροίας (ἐπ. 33), λατινιστὶ μόνον διασωθεῖσα in Synod. advers. tragoed. Irenaei. c. 56. δ') ἡ πρὸς Ἰωάννην τὸν Ἀντιοχείας (ἐπ. 39)· ε') αἱ

1) Ἴδε Fessler Instit. Patrolog. T. II p. 554—556.

2) Τὴν ὁμιλίαν ταύτην ἐξέδωκεν ἑλληνιστὶ τὸ πρῶτον ὁ Καρδινάλιος Ἄγγελος Μάϊος in Spicil. Roman. T. V p. 119—122. Ὁ αὐτὸς Καρδινάλιος ἐξήνεγκε πρῶτος εἰς φῶς τρεῖς μικρὰς τοῦ ἁγ. Κυρίλλου ὁμιλίας εἰς τὴν μετακομιδὴν τῶν λειψάνων τῶν ἁγίων μαρτύρων Κύρου καὶ Ἰωάννου, in Spicil. Romano T. IV p. 248—252 καὶ p. 263—266. Ὁ αὐτὸς ἐξέδωκεν ἐν γένει καὶ τὰ τεμάχια τῶν ὁμιλιῶν τοῦ ἁγίου Κυρίλλου in Auct. Classicor. ex Codd. Vatic. editor. T. X. Romae 1838. p. 546—553, et in Nov. Collect. Vet. Script. T. VII. P. I. p. 24 et 26. Ταῦτα πάντα ἐξεδόθησαν καὶ ὑπὸ τοῦ Migne in T. X.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*δύο πρὸς Σούκενσον ἐπίσκοπον τῆς Διοκαισαρέων* (*ἐπ.* 45 *καὶ* 46)· *ζ΄*) *ἡ πρὸς τὸν πρεσβύτερον Εὐλόγιον* (*ἐπ.* 44)· *ζ΄*) *αἱ δύο πρὸς Ἀκάκιον τὸν Μελιτηνῆς* (*ἐπ.* 40 *καὶ* 41), *ὧν ἡ δευτέρα ἐπιγράφεται περὶ τοῦ ἀποπομπαίου· η΄*) *ἡ πρὸς Οὐαλεριανὸν τὸν Ἰκονίου* (*ἐπ.* 50), *καὶ θ΄*) *ἡ πρὸς Ἀναστάσιον, Ἀλέξανδρον, Μαρτινιανόν, Ἰωάννην, Παρηγόριον πρεσβύτερον, Μάξιμον διάκονον, καὶ πρὸς ἄλλους ὀρθοδόξους πατέρας μοναχῶν* (*ἐπ.* 55) *περὶ τοῦ Συμβόλου τῶν ἐν Νικαίᾳ Πατέρων.*

*Β΄. Αἱ ἱστορικαὶ ἀναφέρονται εἰς τὴν τοῦ Νεστορίου ὑπόθεσιν,* (*ἐπ.* 8, 9, 10, 11, 13, 14, 16, 18, 19)· *εἰς τὴν ἱστορίαν τῆς ἐν Ἐφέσῳ Συνόδου,* (*ἐπ.* 20, 21, 23, 24, 25, 26, 27, 28)· *εἰς τὴν ἐκλογὴν τοῦ διαδεξαμένου τὸν Νεστόριον Μαξιμιανοῦ ἐπισκόπου Κωνσταντινουπόλεως,* (30, 31, 32)· *εἰς τὴν διαλλαγὴν πρὸς τὸν Ἀντιοχείας Ἰωάννην καὶ τοὺς ἄλλους ἐπισκόπους τῆς Ἀνατολῆς* (35—55 *καὶ* 57)· *καὶ τέλος εἰς τοὺς διεγερθέντας ἐκ τῆς καταδίκης Θεοδώρου τοῦ Μοψουεστίας καὶ Διοδώρου τοῦ Ταρσοῦ θορύβους,* (*ἐπ.* 67, 68, 69, 70, 71 *καὶ* 72).

*Γ΄. Κανονικαί εἰσιν: αἱ δύο πρὸς Δόμνον τὸν Ἀντιοχείας* (77, 78), *ἡ πρὸς τοὺς κατὰ Λιβύην καὶ Πεντάπολιν ἐπισκόπους* (79), *ἡ πρὸς τὸν πρεσβύτερον καὶ ἀρχιμανδρίτην Γεννάδιον* (56), *περὶ τοῦ ὅτι δέον παρορᾶν τι τῆς ἀκριβείας μείζονος ἕνεκα κατορθώματος· ἡ πρὸς τοὺς ἐπισκόπους Αὐρήλιον, Βαλεντῖνον καὶ πᾶσαν τὴν ἐν Καρχηδόνι συναθροισθεῖσαν ἁγιωτάτην σύνοδον* (85), *δι' ἧς ὁρίζεται αὐτοῖς ὁ χρόνος τοῦ Πάσχα, καὶ μηνύεται ἡ πρὸς αὐτοὺς ἀποστολὴ τῶν γνησίων τῆς ἐν Νικαίᾳ Συνόδου πρακτικῶν.*

*Δύο ἐκ τῶν ἐπιστολῶν τούτων τοῦ ἁγ. Κυρίλλου εἰσὶ τεταγμέναι. ἐν τῷ τῶν κανόνων συντάγματι. Τῷ ἁγίῳ Κυρίλλῳ ἀποδίδοται ἔτι ἡ κοπτικὴ λειτουργία, ἥν, λατινιστὶ μόνον, ἐξέδωκε πρῶτος ὁ* Renandot in Collect. Liturgiarum Oriental. Paris. 1716. T. 1. p. 38—56. *Ἡ λειτουργία αὕτη ἐστὶν ὁμοία τῇ γνωστῇ ἑλληνικῇ τοῦ Εὐαγγελιστοῦ Μάρκου. Πιθανὸν δὲ νομίζεται ὑπό τινων, ὅτι ὁ ἅγ. Κύριλλος παρέδωκεν ἐγγράφως μόνον τὴν ἀρχαιοτάτην τοῦ Εὐαγγελιστοῦ Μάρκου λειτουργίαν, καὶ ὅτι αὕτη μεθηρμηνεύθη ἔπειτα ἐκ τῆς ἑλληνικῆς εἰς τὴν κοπτικήν. Παρὰ τοῖς Σύροις Ἰακωβίταις ὑπάρχει λειτουργία,*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*ἀποδιδομένη ὡσαύτως τῷ ἀγ. Κυρίλλῳ, ἀλλ' αὕτη ἐστὶν ἐν πολλοῖς διάφορος τῆς κοπτικῆς καὶ πολλῷ αὐτῆς συντομωτέρα.*[1]). *Καὶ αὐτὴ δὲ ἡ κοπτική, ἐν ᾗ εὕρηται μορφῇ, οὐκ ἀνήκει, ὡς φαίνεται, εἰς τὸν ἅγ. Κύριλλον, διότι ἐν αὐτῇ γίνεται μνεία ἁγίων τελευτησάντων μετὰ τὸν ἅγιον Κύριλλον, ὡς τοῦ ἁγίου π. χ. Συμεὼν τοῦ Στυλίτου*[2]). *Πρὸς δὲ τούτοις ἀπαντῶσιν ἐν αὐτῇ καὶ μονοφυσιτικαὶ συμπληρώσεις.*[3])

*Τέλος δὲ καὶ ἡ ἀκολουθία τῶν Ὡρῶν τῆς ἁγίας καὶ μεγάλης Παρασκευῆς λέγεται ὡσαύτως ποίημα εἶναι τοῦ ἁγίου Κυρίλλου.*

1) Fessler Institut. Patrolog. T. II p. 567.
2) Ceillier T. XIII p. 368.
3) Renaudot, Liturgiae Orientales.

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΒΙΒΛΙΟΘΗΚΗ
Μητροπολίτη
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ